KARL HUDE:

# GRÆSK ELEMENTARBOG.

I.

Forberedende Øvelser, med Ordsamling.

3die Udgave.

G Y L D E N D A L S K E B O G H A N D E L
K J Ø B E N H A V N O G K R I S T I A N I A
M D C C C C X V I I I

# Forord.

I denne 3. Udgave af Elementarbogens 1. Afsnit har jeg kun fundet Anledning til at foretage ganske faa og ubetydelige Ændringer, hvis Motivering vil være klar for enhver sagkyndig; Ordsamlingen er blevet underkastet en Revision. Jeg haaber at den lille Bog, som er kommet godt over de første 25 Aar, ogsaa i Fremtiden maa kunne gøre Nytte.

*I April 1918.*

**Udgiveren.**

# Förste Afsnit.

---

σελας. λυομενας. νυν. μερος. λυσομεν. ερνος. λιμενας. — πληρωσαντες. κατα. Δερκυλιδας. απεπλεον. δυσμων. Στρατονικη. απηγαγεν. δεδρακα. Πτελεα. βλαπτων. κεκτημενος. Αλκιβιαδης. πτερυγος. παραλαμβανοντων. — διαφεροντας. σαλπιγγος. Χριστος. χαρα. Ξερξης. προθυμοτερον. Φιλοπονος. εγκωμιον. ξυλον. Ψαμμητιχος. ζητηματα. αγχιστροφος. σφιγξ. ψιθυριστης.

βαίνω. τείρομεν. ποιοίη. βεβηκυῖα. Λαιστρυγόνες. σταυρώματα. νεῦρον. προσηυξάμεθα. βοῦς. Γαυλίτης. μιᾷ. χηλῇ. θρόνῳ. Θρᾷκες. τειχίζουσιν. λοιδορεῖς. ψαύῃ. σφαίραις. Καύνου. σπεύδοιεν. κακουργοῦν.

ἀνά. ἡμίσεια. ἴψαο. Ὠλήν. ὕφασμα. ὧν. Ἡρακλῆς. ῥήτορσιν. ἦρι. Ὕλλος. Ῥαδάμανθυς. Ὦψ. — οὐχί. εἰς. αἱρέω. εὑρεῖν. αἴρουσιν. οἶμος. αὖθις. οὗτος. αἵματι. οἴκαδε. — Εὐρυβιάδης. Οἰνεύς. Αἵμων. Ἅιδης. Ὠιδή. Οὗτος. Αὖλος.

**1.** Ὁ λόγος τοῦ στρατηγοῦ ἐστιν ἤπιος. — Οἱ ἀνδρεῖοι νεανίσκοι ἐν κινδύνῳ οὐκ ὀλίγῳ εἰσίν. — Ὁ οἶνος δῶρον τοῦ Διονύσου ἐστίν. — Τὸ στρατόπεδον τῶν πολεμίων οὐ μακρὰν ἄπεστιν. — Οἱ ἄγγελοι ἦσαν ἀδελφοί. — Ὁ μισθὸς τῶν ξένων μικρὸς ἦν. — Τὰ ὅπλα τῶν στρατηγῶν καλά ἐστιν. — Οἱ ἄνθρωποι ἦσαν ἐν τῷ στρατοπέδῳ. — Τοῖς Ἀθηναίοις οὐχ ἱκανοὶ ἵπποι ἦσαν. — Ἐν τῷ παραδείσῳ οὐκ ὀλίγα ἦν δένδρα μακρά. — Τὰ τῶν ἀνθρώπων ἔργα πολλάκις χαλεπά ἐστιν. — Τὸ θέατρον οὔπω μεστὸν ἦν ἀνθρώπων. — Οἱ ἐν τῇ ἠπείρῳ πόλεμοι φοβεροὶ ἦσαν. — Ὁ ἀριθμὸς τῶν ψήφων ἴσος ἐστίν. — Ὁ ἐν τῇ Πελοποννήσῳ οἶνος ἀγαθός ἐστιν.

Παρὰ τὸν πλοῦν τὸν ἀνὰ τὸν ποταμὸν οἱ δοῦλοι ἐν φόβῳ ἦσαν. — Ὁ τοῦ χρησμοῦ νοῦς οὐ δῆλος ἦν. — Οἱ δαρεικοὶ ἦσαν χρυσοῖ. — Πλησίον τῆς Ἐπιδαύρου νεὼς Ἀσκληπιοῦ τοῦ θεοῦ ἦν.

**2.** Ἡ κακία τῆς βασιλείας φοβερὰ ἦν. — Ἡ Ἀττικὴ χώρα μικρά ἐστιν. — Αἱ δοῦλαι διὰ τὴν ὀργὴν τοῦ κυρίου φόβου μεσταὶ ἦσαν. — Οἱ νεκροὶ θέας ἄξιοι ἦσαν. — Δι᾽ ὅλου τοῦ χρόνου οὔτε κατὰ γῆν οὔτε κατὰ θάλατταν εἰρήνη ἦν τοῖς Ἀθηναίοις. — Ἀθήνησιν αἱ θεράπαιναι πολλάκις ἦσαν Θρᾷτται. — Ἡ φυγὴ τῶν νεανιῶν αἰσχρά ἐστιν. — Οἱ ἀγαθοὶ τῶν πολιτῶν ἐν τιμῇ οὐκ ὀλίγῃ εἰσίν. — Μετὰ τὴν νίκην πεῖνα τοῖς στρατιώταις ἦν· ὀψὲ δὲ τῆς ἡμέρας ἤδη ἦν. — Οἱ ταμίαι οἱ τῶν θησαυρῶν τῆς Ἀθηνᾶς δέκα ἦσαν. — Ἡ τῶν Περσῶν ἵππος ἀγαθὴ ἦν. — Οἱ τοξόται ἐν τῇ μάχῃ οὐ παρῆσαν, οὐδὲ οἱ σφενδονῆται. — Αἱ δραχμαὶ ἦσαν ἀργυραῖ.



**3.** Ὁ στρατηγὸς τοῖς στρατιώταις οὐκ ἀεὶ πιστεύει. — Ὅτε Δαρεῖος ἐβασίλευεν, ἔχθρα ἦν τοῖς Ἀθηναίοις καὶ τοῖς Αἰγινήταις. — Ἡ ἵππος παρὰ τὸν ποταμὸν καθ᾽ ὁδὸν χαλεπήν τε καὶ μακρὰν ἵππευεν. — Πίστευε τοῖς φίλοις. — Μὴ ἄνευ ἀνάγκης κινδυνεύετε. — Οἱ Σπαρτιᾶται ἐκέλευον τὸν ἄγγελον εἰς τὴν αὔριον ἥκειν. — Εἴθε οἱ θεοὶ διὰ σημείων τοὺς πολεμίους εἰς τὴν γῆν τὴν ἡμετέραν στρατεύειν κωλύοιεν.

---

**4.** Ὅτε οἱ κήρυκες εἰς τὸ στρατόπεδον ἧκον, οἱ στρατηγοὶ τύχῃ ἀπῆσαν. — Οἱ Πέρσαι ἐν λινοῖς θώραξιν ἐστράτευον. — Ἐν τῇ ναυμαχίᾳ μάλα ἐκινδύνευον οἱ Φοίνικες· ἠρίστευον γὰρ τῶν Ξέρξου συμμάχων. — Καλὴ μέν ἐστιν ὄψ θεᾶς, καλὴ δὲ ὤψ. — Ἡ σάλπιγξ σημεῖον τῆς μάχης ἦν. — Παλαιὸς λόγος ἐστὶν ἥλικα τὸν ἥλικα τέρπειν.

**5.** Ἡ Ἑλλὰς παρὰ τὴν εἰσβολὴν τῶν Μήδων ἐν μικρᾷ ἐλπίδι σωτηρίας ἦν. — Οἱ στρατηγοὶ τὴν ἔριν τῶν στρατιωτῶν διέλυον. — Οἱ Γίγαντες παῖδες τῆς Γῆς καὶ τοῦ Οὐρανοῦ ἦσαν. — Τοῦ πλέθρου ἑκατὸν πόδες εἰσίν. — Ἐν Σπάρτῃ τὸ παλαιὸν κοινότης πάντων τῶν κτημάτων ἦν. — Οἱ πολῖται τοῖς φυγάσιν οὐκ ἐπίστευον. — Τὸ δρᾶμα εὕρημα τῶν Ἑλληνικῶν ποιητῶν ἐστιν. — Ἡ νὺξ ἄχαρις ἦν τοῖς στρατιώταις.

**6.** Τῇ τρίτῃ ἡμέρᾳ ἄγγελοι ἧκον, ὅτι οἱ χίλιοι ὁπλῖται οἱ ἀπὸ τῶν Πλαταιῶν εἰς τὴν ὑστεραίαν ἥξοιεν. — Οἱ θεοὶ οὔποτε τοὺς Γίγαντας ἐκ τῶν

*δεσμῶν ἐκλύσουσιν. — Ἦν ἐλπὶς τοὺς πολεμίους μὴ ἥξειν· ἡ γὰρ ὁδὸς χαλεπὴ ἦν.*

**7.** *Ἐν τῇ Λακεδαίμονι οἱ γέροντες τῆς πολιτείας ἦρχον. — Οἱ λιμένες τῆς Κορίνθου δύο ἦσαν. — Ὀλίγοι τῶν ἀνθρώπων δι' ὅλου τοῦ βίου εὐδαίμονές εἰσιν. — Οἱ Ἀθηναῖοι ἄκοντες παρῆσαν. — Ὁ πόλεμος λήξων δῆλός ἐστιν. — Οἱ ῥήτορες τῷ δήμῳ συνεβούλευον κήρυκα παρὰ τοὺς Σπαρτιάτας πέμπειν. — Τὸ νέκταρ οἶνος τῶν θεῶν ἐστιν. — Αἰσχίνης πατρὸς μὲν Ἀτρομήτου, μητρὸς δὲ Γλαυκοθέας ἦν. — Διὰ τῆς τῶν ἀνδρῶν ἀρετῆς ἡ πολιτεία ἰσχυρά ἐστιν. — Ἡ ἐν Σαλαμῖνι ἧττα τῶν Μήδων αἰσχρὰ ἦν.*

**8.** *Οἱ παλαιοὶ Ἀθηναῖοι τοὺς εὐγενεῖς τῶν πολιτῶν εὐπατρίδας προσηγόρευον. — Οἱ Μεσσήνιοι παντὶ σθένει βοήθειαν ἔπεμπον. — Τῶν γυναικῶν τὰ μὲν σώματα ἀσθενῆ, αἱ δὲ ψυχαὶ ἰσχυραί εἰσιν. — Ἔλεγον, ὅτι αἱ ἀγγελίαι οὐκ ἀληθεῖς εἰσιν. — Οἱ Κορίνθιοι ἑκατὸν τριήρεις βοήθειαν πέμψουσιν. — Ὑμηττὸς ὄρος τῆς Ἀττικῆς χώρας ἐστίν. — Σωκράτης γένος Ἀθηναῖος ἦν. — Ἀριστείδης τε καὶ Περικλῆς προστάται τοῦ δήμου ἦσαν. — Τοῖς θεοῖς οὔτε θανάτου οὔτε γήρως μέτεστιν. — Τὰ κρέα τῶν ἐλάφων ἁπαλά ἐστιν. — Τῶν κερῶν τοῦ μὲν δεξιοῦ οἱ Λακεδαιμόνιοι ἦρχον, τοῦ δὲ εὐωνύμου οἱ Ἀθηναῖοι.*

**9.** *Τοῦ στρατεύματος τῶν Λακεδαιμονίων Κλεομένης ὁ βασιλεὺς ἦρχεν. — Ἡ βουλὴ ἑκατὸν ἱππέας ἐκπέμπειν ἐκέλευεν. — Ἐν τῷ Πειραιεῖ ἀεὶ παντοδαπαὶ νῆες ἐν ὅρμῳ ἦσαν. — Μετὰ τὴν μάχην οἱ Ἴωνες τοὺς Δωριᾶς δειλοὺς προσηγόρευον. — Ἐπὶ τοῦ πάλαι χρόνου βόες τοῖς ἀνθρώποις νόμισμα ἦν. — Ἡ πειθὼ τάχ' ἂν θέλγοι τὰς ψυχὰς τῶν γυναικῶν.*



**10.** *Οἱ Σύροι ἰχθῦς ἐνίους ὡς θεοὺς ἐθεράπευον. — Ἡ βασιλέως δύναμις πλήθει πολλαπλασία τῆς τοῦ Κύρου ἦν. — Ἡ τῶν Μεγαρέων πόλις μάτην πρέσβεις Ἀθήναζε ἔπεμπεν. — Τὰ Διονύσια τὰ ἐν ἄστει μεγαλοπρεπῆ ἦν. — Ἡρακλῆς υἱὸς Διὸς καὶ Ἀλκμήνης ἦν.*

**11.** *Οἱ ποιηταὶ πολλάκις τὸ ὕδωρ μέλαν προσαγορεύουσιν. — Οἱ Πλαταιεῖς ἀεὶ τοῖς μὲν Θηβαίοις ἐχθροί, τοῖς δὲ Ἀθηναίοις εὖνοι ἦσαν. — Μετὰ τὴν νίκην οἱ ἄρχοντες τῷ Ποσειδῶνι ὡς σωτῆρι ὄντι ἔθυον. — Τὸν μὲν οἶνον ἡδύν, τὸ δὲ ὕδωρ γλυκὺ εἶναι πρέπει. — Διὰ τάφρου βαθείας καὶ εὐρείας ἱππευτέον ἦν τοῖς Πέρσαις. — Τοῖς εὐδαίμοσι βραχύς ἐστιν ὁ βίος. — Πάντες ἄνθρωποι φύσει ἀριστεύειν σπεύδουσιν. — Ἐν πολλοῖς πράγμασιν ἡ τῆς τύχης δύναμις μεγάλη ἐστίν. — Τὸ πολὺ τοῦ στρατεύματος οὔπω παρῆν, ὥστε τοὺς παρόντας ἐν μεγάλῳ κινδύνῳ εἶναι.*

---

**12.** *Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης, ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος. — Πασῶν τῶν θεῶν αἱ Εὐμενίδες σεμνόταται ἦσαν. — Τῷ Παυσανίᾳ, τῷ στρατηγῷ τῶν Λακεδαιμονίων, ἡ δύναμις τιμιωτέρα τῆς ἐλευθερίας ἦν. — Οἱ Ἀθηναῖοι θρασύτεροι ἢ οἱ Σπαρτιᾶται ἦσαν. — Οἱ Δελφοὶ*

ἦσαν εὐσεβέστατοι. — Ὁ Κῦρος αἰδημονέστατος τῶν ἡλικιωτῶν ἦν. — Ἡ τῆς Λακεδαίμονος πολιτεία ἦν ἁπλουστάτη. — Οἱ Ἀθηναῖοι ἐν τοῖς συμποσίοις «φίλταθ' Ἁρμόδι'» ᾖδον· ὁ γὰρ Ἁρμόδιος ἐν τοῖς τὸν Ἵππαρχον τὸν Πεισιστράτου φονεύουσιν ἦν. — Ἀχιλλεὺς ὁ Πηλέως τάχιστός τε καὶ κάλλιστος ἦν. — Οἱ παλαιοὶ οἶνοι πολλῷ ἡδίους εἰσὶ τῶν νέων. — Δημοσθένης ὁ παλαιὸς τὰ εἰς τὸν πόλεμον ἄριστος ἦν. — Τὸ σῶμα τῶν νόσων ἧττόν ἐστιν. — Ἀριστείδης ὁ Λυσιμάχου οὐχ ἥκιστα τῆς τῶν Ἀθηνῶν ἰσχύος αἴτιος ἦν. — Πλήθει μὲν οἱ Λακεδαιμόνιοι ἐλάττους ἦσαν, ἀρετῇ δὲ κρείττους. — Οἱ πλείους ἀπῆσαν. — Τοῖς πρὸ τοῦ ἔργου βουλεύουσι πάντα ῥᾴω. — Ἡ ἀπορία τῶν σιτίων μεγίστη ἦν. — Ὁ θάνατος πάντων ἔσχατον. — Πρότεροι ἥκομεν. — Οἱ Πλαταιεῖς ὕστατοι ἧκον.

**13.** Οἱ ταξίαρχοι τοὺς τοξότας πρὸς τὸν λόφον τοξεύειν ἐκέλευσαν. — Πάντες οἱ πολῖται ἐν μεγάλῳ φόβῳ ἦσαν, μὴ οἱ λῃσταὶ τοὺς κήρυκας φονεύσωσιν. — Θεὸς πάντα εἰς τὸ ἄμεινον τρέψειεν. — Ὁ τὸν νόμον τὸν περὶ τοῦ ὀστρακισμοῦ γράψας Κλεισθένης ἦν. — Οἱ πρέσβεις τὴν ἔχθραν διαλυσάντων. — Δημοσθένης τοῖς συστρατήγοις συνεβούλευσε τὰς τριήρεις καταφλέξαι πρὶν τοὺς Συρακοσίους ἥκειν.

---

**14.** Οἱ δοῦλοι ἡμῖν μᾶλλον ἢ τοῖς δεσπόταις ἐπίστευσαν. — Ὁ πατήρ σου ὑμᾶς τὸν ἄγγελον πέμπειν προύτρεψεν. — Μὴ ἡμᾶς ὑποπτεύετε. — Ἐν τῇ ἐμῇ πατρίδι οἱ στρατεύοντες μέχρι νίκης ἢ θανάτου κινδυνεύουσιν. — Οἱ σοὶ φίλοι ἐμοὶ οὐ φίλιοί εἰσιν. — Ὁ γεραιὸς μάντις αὐτὴν τὴν ἧτταν προυφήτευσεν. — Ὁ διδάσκαλος τὼ παῖδε ταὐτῷ τρόπῳ παιδεύσει. — Ὁ Νικίας τὸν πρότερον πόλεμον ἔπαυσεν· οἱ γὰρ πολέμιοι αὐτῷ ἐπίστευον, τὸν δὲ Ἀλκιβιάδην ὑπώπτευον. — Οἱ σύμμαχοι αὐτοῖς σιτία τε καὶ ὅπλα πέμψουσιν. — Ὁ μὲν βασιλεὺς αὐτὸς ἀπῆν, οἱ δὲ υἱεῖς αὐτοῦ παρῆσαν. — Καλόν ἐστιν, οὐ μόνον ὑπὲρ σεαυτοῦ, ἀλλὰ καὶ ὑπὲρ ἐμοῦ κινδυνεύειν πρόθυμόν σε εἶναι. — Περὶ τῶν καθ' ἡμᾶς αὐτοὺς χείριστα βουλεύομεν. — Κίμων τῶν ἐφ' ἑαυτοῦ Ἀθηναίων τὰ πολεμικὰ ἄριστος ἦν. — Πᾶς τοῖς αὐτοῦ φίλοις πιστευέτω. — Οἱ Λακεδαιμόνιοι πρὸς τὸ σφῶν αὐτῶν κέρδος μόνον ἀπέβλεπον. — Οἱ Μακεδόνες εὐεργεσίαις πολλαῖς τὸ πρὸς ἑαυτοὺς ἔχθος ἔπαυσαν. — Μὴ ἀλλήλους ψεύδετε. — Τὼ ἀδελφὼ οὔτ' ἀλλήλοιν οὔτε τῷ πατρὶ ἐπιστευσάτην.

**15.** Αὕτη ἡ γυνὴ ἐκείνης πολλῷ καλλίων ἐστίν. — Αἱ αἰτίαι τούτου τοῦ πολέμου ἀσαφεῖς εἰσιν. — Πολλὰ πράγματα αὐτὰ καθ' αὑτὰ μικρότατά ἐστιν, ὥστε οὐ θαυμαστόν ἐστιν, ἐνίους αὐτὰ μὴ βλέπειν. — Ἐπεὶ οἱ πρέσβεις ταῦτα ἔλεξαν, ὁ στρατηγὸς συνεβούλευσε τάδε· Ὦ ἄνδρες στρατιῶται, τούτων οὖν τῶν πραγμάτων παρόντων μὴ ἄθυμοι ὦμεν· ἔξεστι γὰρ ἡμῖν σὺν θεοῖς τῶν πολεμίων κρείττοσιν εἶναι. — Τούτων τῶν γυναικῶν, ἃς ὁ βασιλεὺς ἔπεμψεν, ἡ μὲν θυγάτηρ αὐτοῦ, ἡ δὲ θυγάτηρ τοῦ ἀδελφοῦ αὐτοῦ ἦν. — Ἃ λέγεις, οὐκ ἀληθῆ ἐστιν. — Τίνες οἱ ἄγγελοι οὗτοι ἦσαν; Κερκυραῖοί τινες. — Περὶ τίνος ἄλλου ἢ περὶ νίκης ὁ ἀγών; — Οἱ πρέσβεις

*οὐκ ἔλεγον, δι' ὅ τι τῇ προτεραίᾳ οὐχ ἧκον· ἀλλὰ πᾶσι δῆλον ἦν, ὅτι ἀναβολὴν σπεύσειαν. — Ὅστις ἂν τῇ ἑαυτοῦ πόλει μὴ εὔνους ᾖ, τοῦτον ἄπολιν εἶναι δίκαιόν ἐστιν. — Τὼ υἱὼ τοῦ Δαρείου ἐν ἔριδι ἦσαν, ὁποτέρου ἡ βασιλεία εἴη. — Οἱ ὀλίγοι κρείττους ἦσαν τῶν ἑτέρων. — Οἷοι οἱ πολῖται, τοία ἡ πόλις. — Ὁποῖα ἂν τὰ ἱερὰ ᾖ, αὔριον τῆς μάχης ἄρξομεν. — Ἡ βασιλέως ἵππος πλήθει τοσαύτη ἦν, ὅσον πᾶν τὸ στράτευμα τῶν Ἑλλήνων. — Τοῖς Πελοποννησίοις οὐ τοσαῦτα ἦν χρήματα ὅσα τοῖς Ἀθηναίοις. — Ἄμφω τὼ ἀδελφὼ ἅμα παρῆσαν. — Ἑκάτεροι κατὰ θάλατταν κρείττους εἶναι ἐπίστευον. — Οἱ Ἀργεῖοι οὐδετέρων σύμμαχοι ἦσαν, οὔτε τῶν Ἑλλήνων οὔτε τῶν Μήδων.*

**16.** *Οἱ πολέμιοι ῥᾳδίως κεκωλύκασι τὴν διάβασιν. — Δίς μοι κακῶς συμβεβούλευκας. — Τοῖς Ἀθηναίοις ἡ ζημία τοῦ ἄκοντα πεφονευκέναι φυγὴ ἦν. — Ὅτε οἱ κήρυκες οἱ παρὰ βασιλέως οὐ πολλῷ ὕστερον ἧκον, ὁ ἱερεὺς ἤδη περὶ σπονδῶν ἐτεθύκει.*

---

**17.** *Ὁ περίπλους τῆς Σικελίας ὁλκάδι οὐ πολλῷ ἔλαττον ἢ ὀκτὼ ἡμερῶν ἐστιν. — Τῶν δουλῶν αἱ μὲν δύο Κρῆσσαι, ἡ δὲ μία Θρᾷττα ἦν. — Ἐν τῷ βίῳ τῶν ἀνθρώπων οὐδὲν ἰσχυρότερον τῶν χρημάτων. — Ἐν τῇ ναυμαχίᾳ τῇ ἐν Σαλαμῖνι τριακόσιαι καὶ ἑβδομήκοντα καὶ ἑπτὰ νῆες Ἑλληνίδες παρῆσαν, ὧν τῶν μὲν Ἀθηναίων ὀγδοήκοντα καὶ ἑκατὸν ἦσαν, τῶν δὲ Κορινθίων τετταράκοντα, τῶν δ' Αἰγινητῶν τριάκοντα· τῶν μέντοι Λακεδαιμονίων, ὧν τότε ἡ ἡγεμονία ἦν, ἑκκαίδεκα μόναι ἦσαν. — Τοῦ ταλάντου ἑξήκοντα μναῖ εἰσι, τῆς δὲ μνᾶς ἑκατὸν δραχμαί, τῆς δὲ δραχμῆς ἓξ ὀβολοί. — Τοῦ σὺν Ξέρξῃ στρατεύματος ὁ σύμπας ἀριθμὸς μυριάδες πεντακόσιαι καὶ εἴκοσι καὶ ὀκτὼ καὶ χιλιάδες τρεῖς καὶ ἑκατοντάδες δύο καὶ δεκάδες δύο ἦσαν. — Ἑκατοστῷ ἔτει μετὰ τὴν τῶν τυράννων ἐξέλασιν οἱ τετρακόσιοι τὴν δημοκρατίαν κατελελύκεσαν, ἀλλ' αὐτοὶ τέτταρας μόνον μῆνας ἦρξαν. — Τρίτῳ καὶ πεντηκοστῷ καὶ ἑκατοστῷ ἔτει μετὰ τὴν τῶν Συρακουσῶν οἴκισιν οἱ Γελῷοι Ἀριστόνου καὶ Πυστίλου οἰκιστῶν ὄντων Ἀκράγαντα ἵδρυσαν. — Ἡ τῶν Μακεδόνων στρατιὰ τῆς τῶν Ἑλλήνων τετραπλασία ἦν.*



---

**18.** *Οἱ πάλαι Ἕλληνες πάντων μάλιστα τὴν γυμναστικὴν ἐπετήδευον. — Ἕκαστον τῶν Σπαρτιατῶν ἑπτὰ εἵλωτες θεραπεύουσιν. — Τοῖς σεαυτὸν θεραπεύουσι πίστευε ἢ αὐτοὺς ἀπόπεμψον. — Οἱ στρατηγοὶ ἔλεξαν, ὅτι ἡ βοήθεια ἡ παρὰ τῶν συμμάχων ἥξοι τῇ ἕκτῃ ἡμέρᾳ. — Ὁ χρόνος πολλοὺς νόμους τῶν ἀνθρώπων καταλέλυκεν. — Πότε ἂν ὁ πόλεμος λήξειεν; — Ὁ Μαρδόνιος βασιλέως κελεύσαντος δὶς ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσεν. — Δεινὸν ἦν, μὴ οἱ πολέμιοι τοὺς οἴκους καταφλέξωσιν. — Τὸ μέγεθος τοῦ χειμῶνος μόνον ἦν τὸ κωλῦσαν τὴν ἀναίρεσιν τῶν νεκρῶν. — Εἰ τὴν γυμναστικὴν ἐπετήδευες, ὑγιέστερος ἂν ἦσθα. — Παύετε τὴν ἔριν.*

**19.** *Οἱ παῖδες εὖ πεπαίδευνται. — Ὁ σώφρων πατὴρ τοὺς υἱεῖς καλῶς πεπαίδευται. — Ὅτε οἱ*

βοηθοὶ εἰς τὴν πόλιν ἧκον, τὸ πῦρ ἤδη ἐπέπαυτο. — Ὁ ἀριθμὸς τῶν τῷ Πυθίῳ θεῷ συμβεβουλευμένων μέγιστός ἐστιν. — Πᾶς τις ἐν τῇ ὑπὲρ τῆς πατρίδος μάχῃ ἀνδρείως βεβουλεύσθω. — Εἰ μὴ ταῦτα ἀληθῆ ἐστιν, ἡ εἰρήνη αὐτίκα λελύσθω. — Λέγουσί τινες τὴν διάβασιν τοῦ ποταμοῦ ὑπὸ τῶν πολεμίων κεκωλῦσθαι.

**20.** Οἱ ἄνθρωποι τοῖς πάθεσι μᾶλλον ἢ ταῖς ἡδοναῖς παιδεύονται. — Ἐν Ἐλευσῖνι τὼ θεά, Δημήτηρ καὶ Περσεφόνη, εὐσεβέστατα ἐθεραπεύοντο. — Τὸ ὑπὸ τῶν φίλων ἀδίκως ὑποπτεύεσθαι ἄλγιστον. — Δαρεῖος δὶς ἐπὶ τὴν Ἑλλάδα ἐστρατεύετο. — Ὥρα ἤδη ἐστὶν οὐ βουλεύεσθαι, ἀλλὰ βεβουλεῦσθαι. — Ἅτε ὕοντος οἱ στρατιῶται βραδέως ἐπορεύοντο. — Παύεσθε τῆς ἔριδος.

Οἱ πεντακόσιοι πελτασταὶ ἅμα ἕῳ πορεύσονται. — Πολλοὶ ἔλεγον, ὅτι οἱ Μεγαρεῖς καὶ οἱ Κορίνθιοι ἐν βραχεῖ τὴν ἔχθραν διαλύσοιντο. — Ἐάν τινες τοῖς σφῶν αὐτῶν στρατιώταις βοήθειαν πέμψωσιν, αἱ σπονδαὶ αὐτίκα λελύσονται.

**21.** Ὁ Ξενοφῶν, ἐπεὶ Πρόξενος ἐπὶ τὴν στρατείαν αὐτὸν μετεπέμπετο, τῷ ἐν Δελφοῖς θεῷ περὶ τῆς ὁδοῦ συνεβουλεύσατο. — Μηδὲν ἄνευ τῶν σαυτοῦ φίλων βουλεύσῃ. — Ὁπότε ὁ ἄνεμος παύσαιτο, αἱ πλεῖσται νῆες τῶν Μήδων ἔξω τοῦ λιμένος ἐν ὅρμῳ ἦσαν. — Τὴν ἔχθραν τὴν πρὸς τοὺς ἀστοὺς διάλυσαι. — Ὁ χειμὼν γνώμῃ τοῦ Ποσειδῶνος τοῖς Ἕλλησιν εὔνου ὄντος παύσασθαι ἐλέγετο. — Τῶν ἔξω τῆς Ἀτικῆς στρατευσαμένων οἱ πολλοὶ οὔπω παρῆσαν.



**22.** Φρύνιχος, εἷς τῶν τὴν δημοκρατίαν καταλυσάντων, διὰ ταύτην τὴν αἰτίαν κρύφα ἐφονεύθη. — Ὁπότε Κῦρός ποι πορευθείη, οἱ πιστοὶ αὐτῷ συνῇσαν. — Οἱ θεοὶ εὐσεβῶς θεραπευθέντων. — Τὸ πῦρ ἐλέγετο παυθῆναι ὑπὸ τῶν ἐρρωμενεστέρων. — Τῶν σπονδῶν λυθεισῶν οἱ Ἕλληνες σχεδὸν πάντες ἐν παρασκευῇ τοῦ πολέμου ἦσαν. — Ὁ κατὰ θάλατταν πόλεμος κωλυθήσεται.

---

**23.** Ὅστις ἂν τοὺς ἑαυτοῦ γονέας τιμᾷ, αὐτὸν τιμᾷ. — Σίγα. — Τὸ τὴν ἀλήθειαν ἀγαπᾶν καλοκἀγαθίας ἐστίν. — Οἱ ῥήτορες οἱ ἐν Ἀθήναις τὸν δῆμον ἐξηπάτων πρὸς χάριν λέγοντες. — Τῶν ἀμφοτέρων στρατευμάτων τὰ μὲν νικῶντα μέρη Ἴωνες ἦσαν, οἱ δὲ Δωριεῖς ἡττῶντο. — Πάντες αὐτὸν ὡς δειλὸν ὄντα αἰτιῶνται. — Ὅστις Ὀλύμπια νικήσειεν, ὑπὸ τῶν ἀστῶν μεγάλοις γέρασιν ἐτιμᾶτο. — Ἐλέγετο, ὅτι οἱ ὀλίγοι τὴν πολιτείαν καταλῦσαι πειρῷντο. — Ἰὼ τὰ τραύματα. — Οἱ ἑπτὰ φυγάδες κατὰ τὰ ὄρη πλανώμενοι εἰς ἄντρον βαθὺ ἧκον. — Ὁ στρατὸς βασιλέως ἐκ Σάρδεων ὡρμᾶτο. — Οἱ μύριοι Ἕλληνες, ὧν εἷς Ξενοφῶν ἦν, ὑπὸ Τισσαφέρνους τοῦ ὑπάρχου ἐξαπατηθέντες ἐν μεγάλῃ ἀπορίᾳ ἦσαν. — Ἀπὸ λόφου τινὸς οἱ περὶ Ξέρξην ἐθεῶντο τὴν ναυμαχίαν.

**24.** Τὴν πατρίδα πάντων μάλιστα φιλοῦμεν. — Οἱ Ἀθηναῖοι χώραν λεπτόγεων ᾤκουν. — Ὑγιὴς νοσοῦντα ῥᾷστα πᾶς τις νουθετεῖ. — Οἱ δι' ὅλου τοῦ βίου εὐδαιμονοῦντες ἐλάχιστοί εἰσιν. — Εἴ τις

Κῦρον ἀδικοίη, ἀνταδικῶν αὐτὸν νικᾶν ἐπειρᾶτο. — Τί ποιήσας φοβεῖ; — Οἱ ἄνθρωποι φύσει τὸν θάνατον φοβοῦνται. — Οἱ ξένοι πλείονα μισθὸν ᾐτοῦντο. — Ἐνθυμεῖσθε, ὡς χαλεπὸν τὸ πρᾶγμα. — Τί ἂν βασιλέα φοβοίμεθα, ἕως ἂν ἐν ὅπλοις ὦμεν; — Αἱ γυναῖκες, ἅτε τὸν ἄνδρα φίλιον ἡγούμεναι, τὴν ὁδὸν αὐτῷ ἡγήσαντο.

**25.** Ἡ πόλις δικαίως τὰ τῶν πολιτῶν ἁμαρτήματα ζημιοῖ. — Οἱ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους τῷ πολέμῳ κρατήσαντες πάντας τοὺς Ἕλληνας ἐδούλουν. — Ἡ βουλὴ τοὺς εἴκοσι πρέσβεις ἐξορκούτω. — Κῦρος ἔσπευδεν ὅπως δηλοίη οὓς τιμᾷ. — Ὁ κίνδυνος ὁ τὴν τοῦ ἀνδρὸς ἀρετὴν δηλῶν ἐστιν. — Κῦρος πολλοὺς ξένους ἐμισθοῦτο ὡς τὴν ἀνάβασιν ἐπὶ βασιλέα ποιησόμενος. — Ἐν τῇ μάχῃ οἱ Πλαταιεῖς πανταχόθεν κυκλοῦνται, μέχρι δὴ οἱ Ἀθηναῖοι προσεβοήθησαν. — Δῆλον ἦν, ὅτι τούτου ἕνεκα ἡ γῆ ὑπὸ τῶν πολεμίων δῃοῖτο, ἵν᾽ αὐτοῖς ἡ πόλις ὁμολογοίη. — Οἱ νικήσαντες ὑπὸ τῶν Ἑλλήνων τῶν μεγίστων γερῶν ἠξίωντο.

Ὑπὸ βασιλέως κελευσθέντες οἱ ὕπαρχοι ἕκαστος στρατιώτας τε καὶ ναῦς ἔπεμψαν. — Οἱ νεανίαι κεκελευσμένοι ἦσαν τοὺς ἀντιστασιώτας φονεύειν. — Τὸ ἥμισυ τοῦ τείχους τότ᾽ ἤδη ἀπετετέλεστο. — Αἱ δυνάμεις διεσπασμέναι ἦσαν.

---

**26.** Ἐὰν αὖθις τοιαῦτα ποιήσητε, οἱ βάρβαροι τοὺς Ἕλληνας εὐθὺς κατακόψουσιν. — Οἱ Ἀθηναῖοι τῆς Εὐβοίας ἐπὶ τοῖς πολεμίοις οὔσης μεγάλα ἐβλάπτοντο. — Θεμιστοκλῆς βασιλεῖ ἐπιστολὴν ἐπέπομφει, ἐν ᾗ ἔγραψεν, ὅτι αὐτὸν μετὰ τὴν ναυμαχίαν ηὐεργέτησεν. — Μηδὲν ἀποκρύψῃ. — Θεμιστοκλῆς παρὰ βασιλεῖ ὡς εὐεργέτης ἐνεγέγραπτο. — Ἀνάγκη ἐστίν, εἰς τὴν αὔριον τὸ πρᾶγμά σε εὖ ἐσκέφθαι. — Ἀνὴρ Ἕλλην τὸ ἐν τῇ ἑαυτοῦ ταφῆναι περὶ πολλοῦ ἐποιεῖτο. — Αἱ δᾷδες ὑπὸ τῆς ἱερείας οὔπω ἡμμέναι εἰσίν. — Τοῦτο οὐ μεμπτόν.



Τῇ τρίτῃ ἡμέρᾳ ἐκ τοῦ στρατοπέδου ὁρμηθέντες ὡς εἰς μάχην παρετάττοντο. — Τοὺς πολεμίους ἀπὸ τῆς θαλάττης μέχρι τῶν πυλῶν τῆς πόλεως κατεδιώξαμεν. — Φύλαξαι, μή τινα ἀδίκως ὑποπτεύσῃς. — Λέγουσιν οἱ ἐπιστήμονες, ὡς ταῦτα πάντα ἐπὶ βλάβην ἡμῶν πέπρακται. — Οἱ τῇ πόλει ἐνοικοῦντες τὸν Ἀλκιβιάδην ἡδέως ἐδέξαντο. — Τῶν πάλαι πεπραγμένων ἡ ἱστορία ἀσαφής ἐστιν. — Σωκράτης οὔποτε οὐδένα τούτων, οἷς συνῆν, μισθὸν τῆς συνουσίας ἐπράξατο. — Τὰ κρέα κατεφλέχθη. — Οἱ ἐκπεμφθέντες στρατηγοὶ ὑπὸ Τισσαφέρνους κατεσφάγησαν. — Πῶς οὖν πρακτέον;

Οἱ Συρακόσιοι τοὺς ἐναντίους ἐτρέψαντο. — Τῆς ἵππου κατακοπείσης οἱ Ἕλληνες οὐκέτι κρείττους ἦσαν, ἀλλ᾽ ἐτράποντο. — Ἡ πολιτεία ἀνατραπῆναι ἐκινδύνευεν. — Ὁ ὕπαρχος τὰ ἑαυτοῦ χρήματα εἰς τὸν ποταμὸν ἀπέρριψεν, ἵνα μὴ τοῖς πολεμίοις νικήσασιν αὐτὰ καταλίποι. — Μηδεὶς τοῦ καιροῦ λειπέσθω.

**27.** Οἱ Κρῆτες ἀεὶ ψεύδεσθαι ἐλέγοντο. — Ἀλκιβιάδης τοὺς Ἀθηναίους ἐπὶ Συρακούσας, πόλιν τῶν ἐν Σικελίᾳ μεγίστην τε καὶ εὐδαιμονεστάτην, στρα-

*τεύεσθαι ἔπεισεν. — Μὴ ψεύσῃς τὸν σαυτῷ πιστεύοντα. — Τοῖς νόμοις πειστέον. — Οἱ Πέρσαι τῶν ἐλπίδων ἐψευσμένοι ἦσαν. — Τὸν παιᾶνα ᾖσαν. — Οἱ ὀλίγοι νικήσαντες τῶν ἀντιστασιωτῶν οὐκ ἐφείσαντο οὐδὲ τὴν χώραν ἔτι οἰκεῖν εἴασαν. — Ἤσθητε ὡς περιεσόμενοι τῶν πολεμίων.*

*Ἕως οἱ ἄλλοι ὡς πολεμήσοντες παρεσκευάζοντο, τῶν σπονδῶν οὔπω λελυμένων οἱ Θηβαῖοι αὐτοὶ εἰς τὴν γῆν τὴν Πλαταιίδα ἐστρατεύσαντο. — Ὅστις ἂν πάντας ἀνθρώπους ἀγαθοὺς εἶναι νομίσῃ, βλαβεὶς πολλοὺς κακοὺς ὄντας βλέψεται. — Οἱ χίλιοι ἱππεῖς θᾶττον κατὰ θάλατταν οἴκαδε κομιοῦνται. — Οἱ Πελοποννήσιοι ὡρμήθησαν ὡς τὸν ἰσθμὸν ἀποτειχιοῦντες πρὶν τὸν βασιλέως στρατὸν ἥκειν. — Οἱ δικασταὶ τοῦ Σωκράτους θάνατον κατεψηφίσαντο. — Οἱ τριήραρχοι τοὺς ἐπιβάτας ἀναβιβῶσιν.*

**28.** *Ὁ ῥήτωρ τὴν τῶν Θηβαίων δύναμιν τῇ πόλει φοβερωτάτην οὖσαν ἀπέφηνεν. — Τὴν γνώμην οὐ σαφῶς ἀπεφήνω. — Τῶν ἀγγέλων οἱ μὲν ψευσάμενοι ἐφαίνοντο, οἱ δὲ καὶ ἀληθεύσαντες. — Ἡ μὲν οὖν παρασκευὴ τοῦ Φιλίππου μείζων ἢ ὡς ἐπὶ Φωκέας μόνους οὖσα ὑπ᾽ ἐμοῦ ἀποπέφανται· ὑμεῖς δὲ σκέψασθε ὅ,τι πρακτέον. — Μαρδόνιος πυρσοῖς διὰ νήσων βασιλεῖ τὴν αἵρεσιν Ἀθηνῶν ἐσήμηνεν. — Προῖτος ἤλπιζεν Ἰοβάτην Βελλεροφόντην ἀποκτενεῖν. — Τί ποιήσαντας τούτους ἀπέκτονεν ἡ ἀρχή; — Ὥρα ἤδη τὸ ἔργον περᾶναι. — Τὸ γένος τῶν Ἀλκμεωνιδῶν τῷ φόνῳ τῶν τοῦ Κύλωνος συστασιωτῶν ἐμιάνθη. — Τοῦ Ἄπιος φανέντος οἱ Αἰγύπτιοι μεγάλως ηὐφράνθησαν.*



*Ὁ Ἀλκιβιάδης τὸ βούλευμα τῶν στρατηγῶν τοῖς πολεμίοις ἐξαγγεῖλαι ἐλέγετο. — Τῶν πρέσβεων ἤδη ἀπεσταλμένων ὁ δῆμος μετενόησεν. — Ὁ βασιλεὺς πάντας ὡς προδότας καὶ ζημίας ἀξίους ὄντας ἀποκτεῖναι ἐνετείλατο. — Οἱ πολέμιοι τῆς ἐλπίδος τάχ᾽ ἂν σφαλεῖεν.*

*Οἱ Αἰγινῆται κατὰ πᾶσαν τὴν Ἑλλάδα ἐσπάρησαν. — Οἱ ὁπλῖται τὰ δόρατα ἦραν. — Τῇ νίκῃ ἐπαρθεὶς βασιλεὺς εὐθὺς τοὺς καθ᾽ ἑαυτὸν πολεμίους διώκειν ὡρμᾶτο. — Ἡ βραδυτὴς ὑμῶν αὐτῶν ἤδη τὴν πόλιν σχεδὸν διέφθαρκεν. — Τοὺς ἡττημένους οἰκτείρατε· σωφρόνων γάρ ἐστι νικῶντας τῶν μετανοούντων φείδεσθαι. — Ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται.*

*Αἰσχυνοίμην ἂν τοιαῦτα λέγων, οἷα σὺ λέγεις. — Ῥᾷον ἐρωτᾶν ἢ ἀποκρίνεσθαι· τὸ μέντοι ὀρθῶς ἐρωτᾶν οὐκ ἀεὶ ῥᾴδιον.*

---

**29.** *Κῦρος Λυσάνδρῳ χρήματα ἱκανὰ εἰς τὴν τροφὴν τῶν ἐπιβατῶν ἔδωκεν. — Οἱ Ἀθηναῖοι ὑπὸ τῶν Πελοποννησίων προδίδοσθαι ἐνόμιζον. — Ὅστις τὴν αὑτοῦ θυγατέρα ἐκδιδοίη, προῖκα ἐπεδίδου. — Οἱ πρέσβεις δῆλοι ἦσαν σπουδάζοντες, ὅπως αἱ νῆες ἀποδοθῶσιν. — Αἰσχίνην ᾐτιῶντό τινες τὴν τῆς πατρίδος ἐλευθερίαν ἰδίων κερδῶν ἀποδόσθαι.*

**30.** *Τῆς τῶν μάγων ἀρχῆς καταλυθείσης Δαρεῖος εἰς τὴν βασιλείαν κατέστη· κατέστησαν δὲ αὐτὸν οἱ ἄριστοι τῶν Περσῶν. — Οἱ Λακεδαιμόνιοι τοὺς ἐκ Πύλου Μεσσηνίους ἀνιστάναι μάτην ἐπειρῶντο. —*

*Πολλοὶ ἤδη τῶν συμμάχων ἀφειστήκεσαν, ὅτε Ἀμφίπολις τῷ Βρασίδᾳ ὡμολόγησεν. — Τῶν πραγμάτων οὕτω καθεστώτων βουλεύεσθαι πρέπει, ὅπως ἄριστα τὴν μάχην στησόμεθα. — Εἴθε φυλάξαισθε, μὴ ἔτι πλείους ἀποστῶσιν. — Ἀλκιβιάδης τῆς δημοκρατίας προὔστη. — Πολλοὶ τῶν πολιτῶν ὡς τὴν πολιτείαν μεταστήσοντες συνίσταντο. — Οἱ τετρακόσιοι ἄκοντος τοῦ δήμου κατεστάθησαν.*

*Ἔφασάν τινες, ὅτι οἱ πολέμιοι ἤδη ἐντὸς τῶν τειχῶν ἔστασαν. — Ἐάν τε φῆτε ἐάν τε οὐ φῆτε, ἡ εἰρήνη δι' ὀλίγου χρόνου λελύσεται. — Ὁπότε τοῦ δήμου τις περὶ τῆς δημοκρατίας φαίη, οἱ προστάται τῶν ὀλίγων ἰσχυρῶς ἀντέλεγον.*

**31.** *Οἱ Ἀθηναῖοι ἀνδριάντα χρυσοῦν εἰς τὸν ἐν Δελφοῖς νεὼν ἀνέθεσαν. — Τῶν πρυτάνεων οἱ μὲν τὴν διαψήφισιν παρὰ τοὺς νόμους προθήσειν οὐκ ἔφασαν, οἱ δὲ τῷ πλήθει ἐχαρίζοντο. — Ὁ νόμος τοῖς τὰ περὶ τοῦ πολέμου βουλεύματα τοῖς πολεμίοις ἐξαγγέλλουσι θάνατον τὴν ζημίαν προστέθηκεν. — Ἐὰν μὴ τῷ ἀδικήσαντι τὴν δίκην ἐπιθῆτε, πάντες ἤδη ἀδικοῦντες φανήσονται. — Οἱ Δελφοὶ τούς θ' ἑαυτῶν οἰκέτας καὶ τὰ χρήματα εἰς τὰς πλησίον πόλεις ὑπεξέθεντο. — Ἄμασις τῷ Πολυκράτει ἑκουσίῳ πάθει τὰ ἐσόμενα κακὰ ἀποτρέπειν ὑπέθετο — Οἱ νόμοι Ἀθήνησι διὰ τῶν νομοθετῶν ἐτέθησαν. — Οὗτος ὁ νόμος οὔτε περὶ τῶν γυναικῶν οὔτε περὶ τῶν παίδων κεῖται. — Ὀλυμπίασι πολλὰ ὑπὸ τῶν νενικηκότων ἀνέκειτο. — Τῇ συγκειμένῃ ἡμέρᾳ ἅπαντες ἅμα ἕῳ εἰσβολὴν εἰς τὴν χώραν ἐποιήσαντο. — Οἱ ἱππεῖς ἰσχυρῶς ἐπικεισόμενοι φανεροὶ ἦσαν.*



*Βορυσθένης ὁ ποταμὸς εἰς τὸν Εὔξεινον πόντον ἐξίησιν. — Οἱ πρέσβεις τὸν νοῦν τοῦ χρησμοῦ οὐ συνεῖσαν. — Οἱ Κορίνθιοι ἐννέα καὶ τριάκοντα ναῦς ἀφείκεσαν. — Οἱ σύμμαχοι τῶν ἡμετέρων πολεμίων ἡμᾶς διὰ τῆς ἑαυτῶν χώρας οὔποτε διήσουσιν. — Τῶν πλείστων τότε τὴν πόλιν προέντων ὁ Κόνων πιστὸς ὢν ἐφαίνετο. — Φοβούμεθα, μὴ οἱ τὴν πατρίδα προδεδωκότες ὑπὸ τῶν δικαστῶν ἀφεθῶσιν.*

**32.** *Ἴτω, ὡς θεοῖς φίλον. — Ὁ φυγὰς αὔριον κάτεισιν. — Οἱ δειλοὶ αὐτίκα ἀπιέναι συνεβούλευσαν. — Τὸν θεράποντα μετῆσαν. — Τῇ ἐπιούσῃ ἡμέρᾳ οἱ Μῆδοι ὡρμήθησαν ἐκ τοῦ στρατοπέδου ὡς τοῖς πολεμίοις ἐπιόντες. — Οὐ πιστοί ἐστε. — Μὴ ἄπιστοι ἔστε. — Τοὺς ἀεὶ συνόντας ἕκαστος ἢ βλάπτει ἢ ὠφελεῖ. — Ὑπόσχεσις τῶν τετρακοσίων ἦν, ὅτι τούτοις, οἳ ἂν ἰδίᾳ δαπάνῃ ὡπλισμένοι ὦσι, πᾶσι τῆς πολιτείας μετέσται· ἦσαν δὲ σχεδὸν πεντακισχίλιοι. — Αἱ νῆες ὀψὲ τῆς νυκτὸς εἰς Κύζικον παρῆσαν· χειμὼν γὰρ ἦν.*

**33.** *Ἐν τῇ μάχῃ τῇ ἐν Πλαταιαῖς οἱ Πέρσαι πολλὴν ἀρετὴν ἀπεδείκνυντο. — Δεῖξον ἡμῖν ἅπαντα. — Βασιλεὺς ὑμᾶς ὑπάρχους ὕστερον ἀποδείξει. — Οἱ τοξόται χρήσιμοι οὐκέτι ὄντες ἀποδεδειγμένοι εἰσίν. — Οἱ Ἀθηναῖοι καὶ οἱ Λακεδαιμόνιοι ὥσπερ εἰρήνης οὔσης ἐπεμείγνυντο. — Ὡς τάχιστα τὰ στρατεύματα συνέμειξεν, οἱ ἱππεῖς τῶν Συρακοσίων εἰς φυγὴν ἐτράποντο.*

*Οἱ ἀστοὶ τὴν ὁδὸν μυρρίναις στοροῦσιν. — Ἡ τῶν Θετταλῶν ἵππος ταχὺ διασκεδασθῆναι ἐλέγετο.*

# Ordsamling.

*A, α.*

ἀγαθός, ή, όν, god, dygtig, tapper.
ἀγαπάω, ήσω, elsker.
ἀγγελία, ας, ἡ, Budskab.
ἄγγελος, ου, ὁ, Sendebud.
ἀγών, ῶνος, ὁ, Kamp.
ἀδελφός, οῦ, ὁ, Broder.
ἀδικέω, ήσω gör Uret (*τινά*, mod en), foruretter.
ἄδικος, ον, uretfærdig; *Adv.* ἀδίκως, med Urette.
ᾄδω, ᾄσομαι, synger.
ἀεί, altid, til enhver Tid.
Ἀθηνᾶ, ᾶς, ἡ, Gudinden Athene.
Ἀθήναζε, *Adv.*, til Athen.
Ἀθῆναι, ῶν, αἱ, Byen Athen.
Ἀθηναῖος, α, ον, athenisk; *Masc. Plur.* Athenere.
Ἀθήνησι(ν), *Adv.*, i Athen.
ἄθυμος, ον, modløs.
Αἰγινήτης, ου, ὁ, Indbygger paa Øen Ægina.
Αἰγύπτιος, α, ον, ægyptisk; *Masc. Plur.* Ægyptere.
αἰδήμων, ον, beskeden, i Besiddelse af Æresfølelse.
αἵρεσις, εως, ἡ, Indtagelse.
αἴρω, ἀρῶ, løfter, hæver.
Αἰσχίνης, ου, ὁ, athenisk Taler og Politiker.
αἰσχρός, ά, όν, hæslig, skændig, vanærende.
αἰσχύνω, νῶ, gör Skam; *Med.* skammer mig.
αἰτέω, ήσω, forlanger.
αἰτιάομαι, άσομαι, *Dep. Med.*, beskylder, anklager.
αἴτιος, α, ον, skyldig i (baade om godt og ondt), Aarsag til; *Fem.* ἡ αἰτία, Skyld, Aarsag, Grund.
Ἀκράγας, αντος, By paa Sicilien, lat. *Agrigentum*, nu *Girgenti.*
ἄκων, ουσα, ον, uvillig, ufrivillig, uforsætlig.



ἄλγιστος, η, ον, *Superlativ* til ἀλγεινός, smertelig, tung.
ἀλήθεια, ας, ἡ, Sandhed.
ἀληθεύω, σω, taler Sandhed.
ἀληθής, ές, sand.
Ἀλκιβιάδης, ου, ὁ, athenisk Politiker og Hærfører.
Ἀλκμεωνίδαι, ῶν, οἱ, Alkmeonider, en athenisk Adelsslægt.
Ἀλκμήνη, ης, ἡ, mytisk Dronning.
ἀλλά, men.
ἄλλος, η, ο, anden.
ἅμα, 1) *Adv.*, samtidig, 2) *Præp.* med *Dat.*, tillige med, sammen med.
ἁμάρτημα, ατος, τό, Fejl, Forseelse.
Ἄμασις, ιος, ὁ, ægyptisk Konge.
Ἀμφίπολις, εως, ἡ, attisk Koloni i Thrakien.
ἀμφότεροι, αι, α, bægge.
ἄν, en til Sætningens Verbum føjet Partikel, der betegner en i Reglen betinget Mulighed; den gengives sædvanligt ved Oversættelsen af Verbet. Se ogsaa ἐάν.
ἀνά, *Præp.* med *Akk.*, opad.
ἀνάβασις, εως, ἡ, Tog ind i Landet.
ἀναβιβάζω, βιβῶ, lader gaa op, indskiber.
ἀναβολή, ῆς, ἡ, Opsættelse.
ἀνάγκη, ης, ἡ, Nødvendighed; ἀ. ἐστίν, det er nødvendigt.
ἀναίρεσις, εως, ἡ, Optagelse.
ἀνάκειμαι, ligger oppe, er opstillet, indviet.
ἀνατίθημι, opstiller, indvier.
ἀνατρέπω, ψω, kuldkaster.
ἀνδρεῖος, α, ον, mandig, modig.
ἀνδριάς, άντος, ὁ, Billedstøtte.
ἄνεμος, ου, ὁ, Vind.
ἄνευ, *Præp.* med *Gen.*, uden.
ἀνήρ, ἀνδρός, ὁ, Mand.
ἄνθρωπος, ου, ὁ, Menneske.
ἀνίστημι, bringer til at staa op, fordriver.
ἀνταδικέω, ήσω, gör Uret til Gengæld.
ἀντιλέγω, ξω, modsiger, gör Indvendinger.
ἀντιστασιώτης, ου, ὁ, Modstander.
ἄντρον, ου, τό, Hule, Grotte.
ἄξιος, α, ον, værdig, værd, med *Gen.*
ἀξιόω, ώσω, anser for værdig (med *Gen.*), anser for rigtigt; fordrer.
ἁπαλός, ή, όν, fin, blød.
ἅπας, ασα, αν, hel, al.
ἄπειμι (εἶμι), gaar bort.
ἄπειμι (εἰμί), er borte.
Ἆπις, ιος, ὁ, den hellige Tyr i Ægypten.
ἄπιστος, ον, upaalidelig, troløs.
ἁπλοῦς, ῆ, οῦν, enkelt, simpel.
ἀπό, *Præp.* med *Gen.*, af, fra.

ἀποβλέπω, ψομαι, ser hen til, tager Hensyn til.
ἀποδείκνυμι, beviser, udnævner; *Med.* udviser, lægger for Dagen.
ἀποδίδωμι, tilbagegiver; *Med.* sælger.
ἀποκρίνομαι, νοῦμαι, *Dep.Med.*, svarer.
ἀποκρύπτω, ψω, skjuler; *Med.* = *Act.*
ἀποκτείνω, κτενῶ, dræber, henretter.
ἄπολις, ι, *Gen.* ιδος, uden Stad, hjemløs.
ἀποπέμπω, ψω, sender bort, tilbage.
ἀπορία, ας, ἡ, Mangel, Forlegenhed, Vanskelighed.
ἀπορρίπτω, ψω, bortkaster.
ἀποστέλλω, ελῶ, afsender.
ἀποτειχίζω, ιῶ, afspærrer ved en Mur.
ἀποτελέω, λῶ, fuldender.
ἀποτρέπω, ψω, afvender, afholder.
ἀποφαίνω, φανῶ, paaviser, beviser; *Med.* udtaler.
ἅπτω, ψω, 1) knytter, *Med.* berører; 2) tænder.
Ἀργεῖος, α, ον, argivisk; *Masc. Plur.* Argivere.
ἀργυροῦς, ᾶ, οῦν, af Sølv, Sølv-.
ἀρετή, ῆς, ἡ, Dyd, Dygtighed, Tapperhed.
ἀριθμός, οῦ, ὁ, Tal, Antal.
Ἀριστείδης, ου, ὁ, athenisk Hærfører og Statsmand.
ἀριστεύω, σω, udmærker mig.
Ἀριστόνους, ου, ὁ, Egennavn.
Ἁρμόδιος, ου, ὁ, Athener, som dræbte Hipparchos.
ἀρχή, ῆς, ἡ, Herredömme, Regering, Begyndelse.
ἄρχω, ξω, behersker, anfører, begynder.
ἄρχων, οντος, ὁ, Hersker, Befalingsmand, Arkont.
ἀσαφής, ές, utydelig, usikker.
ἀσθενής, ές, svag.
Ἀσκληπιός, οῦ, ὁ, Lægekunstens Gud.
ἀστός, οῦ, ὁ, Borger.
ἄστυ, εως, τό, By.
ἅτε, som, eftersom (angiver en Grund).
Ἀτρόμητος, ου, ὁ, Egennavn.
Ἀττικός, ή, όν, attisk; *Fem.* ἡ Ἀττική (*sc.* γῆ), Landskabet Attika.
αὖθις, *Adv.*, atter, en anden Gang.
αὔριον, imorgen; ἡ α. (*sc.* ἡμέρα), Morgendagen.
αὐτίκα, straks.
ἀφίημι, afsender, bortsender, frikender.
ἀφίστημι, bringer til Frafald; *Med.* falder fra.
ἄχαρις, ρι, ubehagelig.
Ἀχιλλεύς, έως, ὁ, mytisk Helt.



*Β, β.*

βαθύς, εῖα, ύ, dyb, höj.
βάρβαρος, ου, ὁ, Barbar.
βασίλεια, ας, ἡ, Dronning.
βασιλεία, ας, ἡ, Kongedömme, Kongerige.
βασιλεύς, έως, ὁ, Konge; uden Artikel om Storkongen.
βασιλεύω, εύσω, er Konge, regerer.
Βελλεροφόντης, ου, ὁ, mytisk Helt.
βίος, ου, ὁ, Liv.
βλάβη, ης, ἡ, Skade.
βλάπτω, ψω, skader.
βλέπω, ψομαι, ser.
βοηθός, οῦ, ὁ, Hjælper.
βοήθεια, ας, ἡ, Hjælp.
Βορυσθένης, ους, ὁ, Floden *Dnjepr.*
βούλευμα, ατος, τό, Beslutning, Plan.
βουλεύω, σω, overvejer, holder Raad, beslutter; hyppigst i *Med.*
βουλή, ῆς, ἡ, Raad.
βοῦς, βοός, ὁ, ἡ, Tyr, Ko, Okse.
βραδύς, εῖα, ύ, langsom.
βραδυτής, ῆτος, ἡ, Langsomhed.
Βρασίδας, ου, ὁ, spartansk Hærfører.
βραχύς, εῖα, ύ, kort.

*Γ, γ.*

γάρ, thi, nemlig.
Γελῷος, ου, ὁ, Indbygger i Byen Gela paa Sicilien.
γένος, ους, τό, Slægt, Herkomst.
γεραιός, ά, όν, gammel, ærværdig.
γέρας, ως, τό, Ære, Æresbevisning.
γέρων, οντος, ὁ, gammel Mand, Olding; *Plur.* Folkets Ældste, Raadsherrer.
γῆ, γῆς, ἡ, Jord, Land; Γῆ, mytisk Væsen.
γῆρας, ως, τό, Alderdom.
Γίγας, αντος, ὁ, sædv. *Plur.*, mytiske Kæmper.
Γλαυκοθέα, ας, ἡ, Egennavn.
γλυκύς, εῖα, ύ, sød, fersk.
γνώμη, ης, ἡ, Indsigt, Mening, Vilje.
γονεύς, έως, ὁ, Fader; *Plur.* Forældre.
γράφω, ψω, skriver, foreslaar.
γυμναστική (*sc.* τέχνη, Kunst), ῆς, ἡ, Gymnastik.
γυνή, γυναικός, ἡ, Kvinde.

*Δ, δ.*

δαπάνη, ης, ἡ, Udgift, Bekostning.
δαρεικός, οῦ, ὁ, en persisk Guldmønt af 20 Drachmers Værdi.
Δαρεῖος, ου, ὁ, persisk Kongenavn.

δᾴς, δᾳδός, ἡ, Fakkel.
δέ, og, men; betegner en Overgang til noget andet og en Modsætning (svagere end ἀλλά); sættes mest efter foregaaende μέν (se dette Ord).
δείκνυμι, viser.
δειλός, ή, όν, fejg.
δεινός, ή, όν, farlig; i *Neutr.* substantivisk: Fare.
δέκα, ti.
Δελφοί, ῶν, οἱ, 1) Byen Delfi i Fokis med Apollons Orakel; 2) Indbyggere i Delfi, Delfiere.
δένδρον, ου, τό, Træ.
δεξιός, ά, όν, höjre.
δέρω, ρῶ, flaar, prygler.
δεσμός, οῦ, ὁ, Baand, Lænke; *Plur.* (ogs. δεσμά) Fængsel.
δεσπότης, ου, ὁ, Herre, Hersker.
δέχομαι, ξομαι, *Dep. Med.*, modtager.
δή, altsaa, saa.
δῆλος, η, ον, aabenbar, tydelig.
δηλόω, ώσω, gör aabenbar, viser.
Δημήτηρ, τρος, ἡ, Frugtbarhedens Gudinde.
δημοκρατία, ας, ἡ, Folkeherredömme.
δῆμος, ου, ὁ, Folk, Land, Demokrati.
Δημοσθένης, ους, ὁ, 1) athenisk Feltherre i det 5. Aarh., 2) athenisk Taler og Statsmand i det 4. Aarh.
δῃόω, ώσω, ødelægger, hærger.
διά, *Præp.*, 1) med *Akk.* paa Grund af, 2) med *Gen.* igennem, ved Hjælp af, henover (om Stedet), efter (om Tiden).
διάβασις, εως, ἡ, Overgang.
διαλύω, σω, opløser, bilægger.
διασκεδάννυμι, δῶ, adspreder, adsplitter.
διασπάω, άσω, splitter.
διαφθείρω, φθερῶ, ødelægger.
διαψήφισις, εως, ἡ, Afstemning.
διδάσκαλος, ου, ὁ, Lærer.
διίημι, sender igennem, lader passere.
δίκαιος, α, ον, retfærdig; *Adv.* δικαίως, med Rette.
δικαστής, οῦ, ὁ, Dommer.
δίκη, ης, ἡ, Ret, Straf.
Διονύσια, ων, τά, Fest for Dionysos.
Διόνυσος, ου, ὁ, Vinens Gud.
δίς, to Gange.
διώκω, ξομαι, forfølger.
δόρυ, ρατος, τό, Træstamme, Lanse.
δούλη, ης, ἡ, Slavinde.
δοῦλος, ου, ὁ, Slave.
δουλόω, ώσω, gör til Slave, underkuer.
δρᾶμα, ατος, τό, Handling, Skuespil.



δραχμή, ῆς, ἡ, Drachme, en Sølvmønt lig omtr. 70 Øre.
δύναμις, εως, ἡ, Magt, Kraft.
δύο, to.
Δωριεύς, έως ell. ῶς, ὁ, Dorer.
δῶρον, ου, τό, Gave.

E, ε.

ἐάν (= εἰ ἄν), ogsaa ἤν ell. ἄν, hvis; ἐάν τε — ἐάν τε = hvad enten — eller.
ἐάω, άσω, tillader.
ἐγγράφω, ψω, indskriver, optegner.
εἰ, *Konj.*, hvis.
εἴθε, gid.
εἵλως, ωτος, ὁ, Helot, spartansk Livegen.
εἰρήνη, ης, ἡ, Fred.
εἰς (ogsaa ἐς), *Præp.* med *Akk.*, til, ind i.
εἰσβολή, ῆς, ἡ, Indfald.
ἐκ (foran Vokaler ἐξ), *Præp.* med *Gen.*, fra, ud af.
ἕκαστος, η, ον, enhver.
ἑκατόν, hundrede.
ἑκατοντάς, άδος, ἡ, et Hundrede.
ἐκδίδωμι, bortgifter.
ἐκλύω, σω, udløser, befrier.
ἑκούσιος, α, ον, frivillig, forsætlig.
ἐκπέμπω, ψω, udsender.
ἕκτος, η, ον, sjette.
ἔλαφος, ου, ὁ, ἡ, Hjort, Hind.
ἐλευθερία, ας, ἡ, Frihed.
Ἐλευσίς, σῖνος, ἡ, By i Attika.
Ἑλλάς (egl. *Adj.*, *sc.* γῆ), άδος, ἡ, Hellas, Grækenland.
Ἕλλην, ηνος, ὁ, Hellener, Græker; ogsaa som *Adj.*, hellenisk, græsk.
Ἑλληνικός, ή, όν, hellenisk, græsk.
Ἑλληνίς, ίδος, *Adj.* af *Fem.*, hellenisk, græsk.
ἐλπίζω, ίσω, haaber.
ἐλπίς, ίδος, ἡ, Haab.
ἐν, *Præp.* m. *Dat.*, i, paa, ved.
ἐναντίος, α, ον, modsat; *Masc. Plur.* Modstandere.
ἕνεκα, *Præp.* med *Gen.*, for — Skyld, paa Grund af.
ἐνθυμέομαι, ήσομαι, *Dep.Pass.*, betænker.
ἔνιοι, αι, α, adskillige, nogle.
ἐνοικέω, ήσω, bor i.
ἐντέλλομαι, τελοῦμαι, *Dep. Med.*, befaler.
ἐντός, *Adv.* og *Præp.* m. *Gen.*, indenfor.
ἐξαγγέλλω, γελῶ, fortæller ud, røber, forraader.
ἐξαπατάω, ήσω, bedrager.
ἐξέλασις, εως, ἡ, Fordrivelse.
ἔξεστι (εἰμί), det er muligt.
ἐξίημι, sender ud; løber ud (om Floder).
ἐξορκόω, ώσω, tager i Ed, edfæster.
ἔξω, *Adv.* og *Præp.* med *Gen.*, udenfor.

*ἐπαίρω, αρῶ*, løfter; *Pass.* bliver stolt, overmodig.
*ἐπεί, Konj.*, da, efterat.
*ἔπειμι (εἶμι)*, gaar til, angriber, følger.
*ἐπί, Præp.*, 1) med *Akk.* til, mod, 2) med *Dat.* ved, hos, i ens Magt, 3) med *Gen.* paa, under (om Tiden).
*ἐπιβάτης, ου, ὁ*, Søsoldat.
*Ἐπίδαυρος, ου, ἡ*, By i Argolis.
*ἐπιδίδωμι*, giver til, desuden.
*ἐπίκειμαι*, angriber.
*ἐπιμείγνυμι*, blander til; *Med.* har Samkvem.
*ἐπιστήμων, ον*, kyndig.
*ἐπιστολή, ῆς, ἡ*, Brev.
*ἐπιτηδεύω, σω*, lægger mig efter, driver.
*ἐπιτίθημι*, paalægger.
*ἔργον, ου, τό*, Gerning, Værk.
*ἔρις, ιδος, ἡ*, Strid, Uenighed.
*ἐρρωμένος, η, ον*, stærk.
*ἐρωτάω, ήσω*, spörger.
*ἐσόμενος, Fut. Part.* af *εἰμί*, tilkommende, forestaaende.
*ἔσχατος, η, ον, Superl.*, yderst, sidst.
*ἕτερος, α, ον*, anden; *οἱ ἕτεροι*, Modpartiet.
*ἔτι*, endnu.
*ἔτος, ους, τό*, Aar.
*εὖ*, godt, vel.
*Εὔβοια, ας, ἡ*, Ø, nu *Evvia* ell. *Negroponte*.
*εὐγενής, ές*, ædelbaaren.
*εὐδαιμονέω, ήσω*, er lykkelig.
*εὐδαίμων, ον*, lykkelig, rig.
*εὐεργεσία, ας, ἡ*, Velgerning.
*εὐεργετέω, ήσω*, gör vel imod.
*εὐεργέτης, ου, ὁ*, Velgörer.
*εὐθύς*, straks.
*Εὐμενίδες, ων, αἱ*, de velsindede, Navn paa Hævngudinderne.
*εὔνους, νουν*, velsindet, hengiven.
*εὔξεινος, ον*, gæstmild; *ὁ Εὔξεινος πόντος*, det sorte Hav.
*εὐπατρίδης, ου, ὁ*, Adelsmand, Eupatride.
*εὕρημα, ατος, τό*, Fund, Opfindelse.
*Εὐριπίδης, ου, ὁ*, Tragediedigter.
*εὐρύς, εῖα, ύ*, bred.
*εὐσεβής, ές*, from; *Adv. εὐσεβῶς*.
*εὐφραίνω, φρανῶ*, glæder; *Pass.* glæder mig.
*εὐώνυμος, ον*, venstre.
*ἔχθος, ους, τό*, Had.
*ἔχθρα, ας, ἡ*, Fjendskab.
*ἐχθρός, ά, όν*, fjendsk; som *Subst.* Uven, Fjende.
*ἕως, ἕω, ἡ*, Morgenrøde, Daggry.
*ἕως, Konj.*, 1) indtil, 2) medens, saa længe som.

*Z, ζ.*

*Ζεύς, Διός, ὁ*, Guden Zeus.



*ζημία, ας, ἡ*, Straf.
*ζημιόω, ώσω*, straffer.

*H, η.*

*ἤ*, 1) eller (*ἤ — ἤ* = enten — eller), 2) end.
*ἡγεμονία, ας, ἡ*, Overanførsel.
*ἡγεμών, μόνος, ὁ*, Anfører, Fører, Vejviser.
*ἡγέομαι, ήσομαι, Dep. Med.*, 1) fører, viser, 2) anser, holder for.
*ἡδέως*, gærne.
*ἤδη*, allerede, nu, saa.
*ἥδομαι, ἡσθήσομαι, Dep. Pass.*, glæder mig.
*ἡδονή, ῆς, ἡ*, Glæde, Nydelse.
*ἡδύς, εῖα, ύ*, sød, behagelig.
*ἥκω, ξω*, kommer, er kommet.
*ἡλικιώτης, ου, ὁ*, Jævnaldrende.
*ἧλιξ, ικος*, jævnaldrende, lig.
*ἡμέρα, ας, ἡ*, Dag.
*ἡμέτερος, α, ον*, vor.
*ἥμισυς, εια, υ*, halv.
*ἤπειρος, ου, ἡ*, Fastland.
*ἤπιος, α, ον*, mild, velvillig.
*Ἡρακλῆς, έους, ὁ*, mytisk Helt.
*ἧττα, ης, ἡ*, Nederlag.
*ἡττάομαι, ήσομαι, Dep. Pass.*, bukker under, overvindes.

*Θ, ϑ.*

*ϑάλαττα, ης, ἡ*, Hav, Sø.
*ϑάνατος, ου, ὁ*, Død.
*ϑάπτω, ψω*, begraver.
*ϑαυμαστός, ή, όν*, underlig, vidunderlig.
*ϑέα, ας, ἡ*, Syn, Skue.
*ϑεά, ᾶς, ἡ*, Gudinde.
*ϑεάομαι, άσομαι, Dep. Med.*, betragter.
*ϑέατρον, ου, τό*, Tilskuerplads, Teater.
*ϑέλγω, ξω*, fortryller, forlokker.
*Θεμιστοκλῆς, έους, ὁ*, athenisk Hærfører og Statsmand.
*ϑεός, οῦ, ὁ, ἡ*, Gud, Gudinde.
*ϑεράπαινα, νης, ἡ*, Tjenerinde, Tjenestepige.
*ϑεραπεύω, σω*, plejer, betjener, ærer.
*ϑεράπων, οντος, ὁ*, Tjener.
*Θετταλοί, ῶν, οἱ*, Indbyggerne i Thessalien.
*Θηβαῖος, α, ον*, thebansk; *Masc. Plur.* Thebanere.
*ϑησαυρός, οῦ, ὁ*, Skat.
*Θρᾷξ, ᾳκός, ὁ*, Thraker.
*ϑρασύς, εῖα, ύ*, dristig, tillidsfuld.
*Θρᾶττα, ης, ἡ*, Thrakerinde.
*ϑυγάτηρ, τρός, ἡ*, Datter.
*ϑύω, σω*, ofrer.
*ϑώραξ, ακος, ὁ*, Panser, Harnisk.

*I, ι.*

*ἰάομαι, ἰάσομαι, Dep. Med.*, læger, helbreder.
*ἴδιος, α, ον*, egen, privat.

ἱδρύω, σω, grundlægger.
ἱέρεια, ας, ἡ, Præstinde.
ἱερεύς, έως, ὁ, Præst.
ἱερός, ά, όν, hellig; *Neutr. Plur.* substantivisk: Ofre, Varsler.
ἱκανός, ή, όν, tilstrækkelig (*Plur.* tilstrækkelig mange); dygtig.
ἵνα, *Konj.*, for at.
Ἰοβάτης, ου, ὁ, mytisk Konge.
Ἵππαρχος, ου, ὁ, Sön af Peisistratos.
ἱππεύς, έως, ὁ, Rytter.
ἱππεύω, σω, rider.
ἵππος, ου, ὁ, ἡ, Hest; i *Fem.* ogsaa: Rytteri.
ἰσθμός, οῦ, ὁ, Landtange, især om Tangen ved Korinth.
ἴσος, η, ον, lig, lige stor.
ἵστημι, stiller; μάχην ἵστασθαι, begynde Slag.
ἱστορία, ας, ἡ, Forskning.
ἰσχυρός, ά, όν, stærk, kraftig.
ἰσχύς, ύος, ἡ, Styrke, Kraft.
ἰχθύς, ύος, ὁ, Fisk.
Ἴωνες, ων, οἱ, græsk Folkestamme.

## Κ, κ.

καθίστημι, indsætter; *Med.* indtræder, staar.
καί, og, ogsaa, endogsaa; καί — καί = baade — og.
καιρός, οῦ, ὁ, det rette Tidspunkt, Lejlighed.
κακία, ας, ἡ, Ondskab, Slethed.
κακός, ή, όν, ond, slet, svag; *Neutr.* subst.: Ulykke.
καλοκἀγαθία, ας, ἡ, Bravhed (egl. det at være καλὸς καὶ ἀγαθός, brav og god).
καλός, ή, όν, smuk, god.
κατά, *Præp.*, 1) med *Akk.* paa (over), ligeoverfor, med Hensyn til, 2) med *Gen.* nedad, imod.
καταδιώκω, ξομαι, forfølger.
κατακόπτω, ψω, nedhugger.
καταλείπω, ψω, efterlader.
καταλύω, σω, ophæver, omstyrter.
κατασφάζω ell. -σφάττω, ξω, nedhugger, henretter.
καταφλέγω, ξω, opbrænder.
καταψηφίζομαι, ιοῦμαι, *Dep. Med.*, stemmer imod, dømmer.
κάτειμι (εἶμι), vender tilbage.
κεῖμαι, ligger; som *Perf. Pass.* til τίθημι = er sat (givet).
κελεύω, σω, befaler, foreslaar.
κέρας, ατος ell. ως, τό, Horn, Flöj.
κέρδος, ους, τό, Fordel.
Κερκυραῖος, α, ον, kerkyræisk; *Masc. Plur.* Indbyggerne paa Øen Kerkyra.
κῆρυξ, υκος, ὁ, Herold.
Κίμων, ωνος, ὁ, athenisk Hærfører, Søn af Miltiades.



κινδυνεύω, σω, er ell. vover mig i Fare.
κίνδυνος, ου, ὁ, Fare.
Κλεισθένης, ους, ὁ, athenisk Statsmand.
Κλεομένης, ους, ὁ, spartansk Konge.
κοινότης, ητος, ἡ, Fællesskab.
κομίζω, ιῶ, bringer; i *Med.* som *Dep.* drager (tilbage).
Κόνων, ωνος, ὁ, athenisk Feltherre.
Κορίνθιος, α, ον, korinthisk; *Masc. Plur.* Korinthiere.
Κόρινθος, ου, ἡ, Byen Korinth.
κρατέω, ήσω, behersker (med *Gen.*), besejrer (med *Akk.*).
κρέας, ως, τό, Kød.
Κρής, Κρητός, ὁ, Kreter, Beboer af Kreta.
Κρῆσσα, ης, ἡ, Kreterinde.
κρύφα, *Adv.*, hemmeligt.
κτῆμα, ατος, τό, Ejendom, Besiddelse.
Κύζικος, ου, ἡ, Ø og By i Propontis (*Marmara-Havet*).
κυκλόω, ώσω, omringer.
Κύλων, ωνος, ὁ, Athener, der omtr. ved Aaret 630 forgæves søgte at opkaste sig til Tyran.
κύριος, ου, ὁ, Herre.
Κῦρος, ου, ὁ, persisk Egennavn.
κωλύω, σω, forhindrer.

## Λ, λ.

Λακεδαιμόνιοι, ων, οἱ, Indbyggerne i Lakedaimon.
Λακεδαίμων, ονος, ἡ, Hovedstaden(Sparta)i Landskabet Lakonien eller dette selv.
λέγω, ξω, siger.
λείπω, ψω, forlader, efterlader; i *Med.* med *Gen.*: bliver borte fra, forsömmer.
λεπτόγεως, ων, med tyndt Jordsmon, ufrugtbar.
λήγω, ξω, ophører.
λῃστής, οῦ, ὁ, Røver.
λιμήν, ένος, ὁ, Havn.
λινοῦς, ῆ, οῦν, linned, Lærreds-.
λόγος, ου, ὁ, Tale, Ord.
λόφος, ου, ὁ, Höj, Bakke.
Λύσανδρος, ου, ὁ, spartansk Feltherre.
Λυσίμαχος, ου, ὁ, Egennavn.
λύω, σω, løser, bryder.

## Μ, μ.

μάγος, ου, ὁ, Mager, persisk Præst.
Μακεδών, όνος, ὁ, Indbygger i Makedonien.
μακράν, *Adv.*, langt borte.
μακρός, ά, όν, lang.
μάλα, μᾶλλον, μάλιστα, *Adv.*, meget, i höj Grad.
μαλακός, ή, όν, blød, blødagtig, fejg.
μάντις, εως, ὁ, Spaamand.

Μαρδόνιος, ου, ὁ, persisk Hærfører.
μάτην, forgæves.
μάχη, ης, ἡ, Kamp, Slag.
μεγαλοπρεπής, ές, prægtig, storartet.
μεγάλως, i höj Grad.
Μεγαρεύς, έως, ὁ, Indbygger i Byen Megara.
μέγας, άλη, α, stor.
μέγεθος, ους, τό, Störrelse.
μεθίστημι, omstiller, forandrer.
μέλας, αινα, αν, sort.
μέμφομαι, ψομαι, *Dep. Med.* & *Pass.*, dadler.
μέν, Partikel, der oftest bruges med efterfølgende δέ, saa at to Led modsættes eller forbindes med hinanden; oversættes undertiden ved: vel (— men) eller dels (— dels), men i Reglen slet ikke. Artiklen sættes med tilföjet μέν — δέ pronominalt: ὁ μέν — ὁ δέ = den ene — den anden; οἱ μέν — οἱ δέ = nogle — andre, de förstnævnte — de sidstnævnte.
μέντοι, men, dog.
μέρος, ους, τό, Del, Afdeling.
Μεσσήνιοι, ων, οἱ, Indbyggerne i Landskabet Messenien.
μεστός, ή, όν, fuld, opfyldt.
μετά, *Præp.*, 1) med *Akk.* efter, 2) med *Gen.* sammen med.
μετανοέω, ήσω, skifter Tanker, angrer.
μεταπέμπω, ψω, hyppigst i *Med.*, sender Bud efter, henter.
μέτειμι (εἶμι), gaar efter, opsøger.
μέτεστί (εἰμί) τινί τινος, en har Del i noget.
μέχρι, *Præp.* med *Gen.* og *Konj.*, indtil.
μή, ikke, at ikke (efter Frygtsverber = at).
μηδείς, δεμία, δέν, ingen.
Μῆδος, ου, ὁ, en Meder.
μήν, νός, ὁ, Maaned.
μήτηρ, τρός, ἡ, Moder.
μιαίνω, ανῶ, besudler, besmitter med Blodskyld.
μικρός, ά, όν, lille, ringe.
μισθός, οῦ, ὁ, Lön, Sold.
μισθόω, ώσω, udlejer; *Med.* lejer for mig.
μνᾶ, μνᾶς, ἡ, Mine, Sum af 100 Drachmer.
μόνος, η, ον, ene, alene; *Neutr.* μόνον som *Adv.* blot, kun.
μύριοι, titusind.
μυρρίνη, ης, ἡ, Myrtegren.

*Ν, ν.*

ναυμαχία, ας, ἡ, Søslag.
ναῦς, νεώς, ἡ, Skib.



νεανίας, ου, ὁ, ung Mand.
νεανίσκος, ου, ὁ, ung Mand.
νεκρός, οῦ, ὁ, Lig.
νέκταρ, ος, τό, Nektar.
νέος, α, ον, ny, ung.
νεώς, εώ, ὁ, Tempel.
νῆσος, ου, ἡ, Ø; *Plur.* uden Artikel: Kykladerne.
νικάω, ήσω, sejrer, overvinder, overgaar.
νίκη, ης, ἡ, Sejr.
Νικίας, ου, ὁ, athenisk Feltherre og Statsmand.
νομίζω, ιῶ, tror, mener.
νόμισμα, ατος, τό, Mønt, Penge.
νομοθέτης, ου, ὁ, Lovgiver; i *Plur.* om en Lovkommission.
νόμος, ου, ὁ, Lov, Skik.
νοσέω, ήσω, er syg.
νόσος, ου, ἡ, Sygdom.
νουθετέω, ήσω, formaner, irettesætter.
νοῦς, νοῦ, ὁ, Sind, Mening.
νύξ, νυκτός, ἡ, Nat.

*Ξ, ξ.*

ξένος, η, ον, fremmed; i *Plur.* substantivisk: Lejetropper.
Ξενοφῶν, ῶντος, ὁ, athenisk Feltherre og Forfatter.
Ξέρξης, ου, ὁ, persisk Konge.

*Ο, ο.*

ὀβολός, οῦ, ὁ, Obol, en Sølvmønt lig omtr. 11 Øre.
ὁδός, οῦ, ἡ, Vej, Rejse.
οἴκαδε, *Adv.*, hjem.
οἰκέτης, ου, ὁ, som hører til Huset, Slave; *Plur.* Husstand, Kone og Börn.
οἰκέω, ήσω, bor, bebor.
οἴκισις, εως, ἡ, Anlæggelse.
οἰκιστής, οῦ, ὁ, Grundlægger, Anfører ved et Kolonianlæg.
οἶκος, ου, ὁ, Hus.
οἰκτείρω, τερῶ, ynkes over.
οἶνος, ου, ὁ, Vin.
ὀλίγος, η, ον, lille, *Plur.* faa; οἱ ὀλίγοι, Oligarkerne.
ὁλκάς, άδος, ἡ, Fragtskib.
ὅλος, η, ον, hel.
Ὀλύμπια, ων, τά, de olympiske Lege.
Ὀλυμπίασι, *Adv.*, i Olympia.
ὁμολογέω, ήσω, indrömmer, slutter Forlig, overgiver mig.
ὁπλίζω, ιῶ, udruster (med ὅπλα).
ὁπλίτης, ου, ὁ, Hoplit, Kriger i svær Rustning.
ὅπλον, ου, τό, Vaaben; *Plur.* svær Rustning.
ὁπότε, *Konj.*, hvergang naar, saa ofte som.
ὅπως, 1) *Adv.* hvorledes, 2) *Konj.* at, for at.
ὀργή, ῆς, ἡ, Vrede.
ὀρθός, ή, όν, ret, rigtig.
ὁρμάω, ήσω, sætter i Bevægelse; *Med.* bryder op, iler.

ὅρμος, ου, ὁ, Ankerplads.

ὄρος, ους, τό, Bjærg.

ὀστρακισμός, οῦ, ὁ, Afstemning og Landsforvisning ved Potteskaar.

ὅτε, *Konj.*, da, naar.

ὅτι, *Konj.*, at, fordi.

οὐ, οὐκ (foran Vokaler), οὐχί, ikke.

οὐδέ, og ikke, heller ikke, ikke engang.

οὐδείς, δεμία, δέν, ingen.

οὐκέτι, ikke mere.

οὖν, altsaa.

οὔποτε, aldrig.

οὔπω, endnu ikke.

οὐρανός, οῦ, ὁ, Himmel; Οὐρανός, mytisk Væsen.

οὔτε — οὔτε, hverken — eller.

οὕτω(ς), saaledes.

ὄψ, ὀπός, ἡ, Stemme, Röst.

ὀψέ, *Adv.*, sent, silde.

## Π, π.

πάθος, ους, τό, Lidelse.

παιάν, ᾶνος, ὁ, Pæan, Festsang, Krigssang,

παιδεύω, σω, opdrager.

παῖς, δός, ὁ, ἡ, Barn, Sön, Datter, Dreng, Pige.

πάλαι, *Adv.*, fordum.

παλαιός, ά, όν, gammel; τὸ παλαιόν adverbielt: i gamle Dage.

πανταχόθεν, allestedsfra, paa alle Sider.

παντοδαπός, ή, όν, fra alle mulige Steder.

παρά, *Præp.*, 1) med *Akk.* til, mod, langsmed, under (om Tiden), 2) med *Dat.* hos, ved, 3) med *Gen.* fra.

παράδεισος, ου, ὁ, Park, Dyrehave.

παρασκευάζω, άσω, bereder.

παρασκευή, ῆς, ἡ, Forberedelse, Udrustning.

παρατάττω, άξω, opstiller.

πάρειμι (εἰμί), er tilstede, indfinder mig.

πᾶς, πᾶσα, πᾶν, al, hel, enhver.

πατήρ, τρός, ὁ, Fader.

πατρίς (egl. *Adj.*, *sc.* γῆ), ίδος, ἡ, Fædreland.

Παυσανίας, ου, ὁ, spartansk Kongeformynder og Feltherre.

παύω, σω, standser (*trans.*), bringer til at høre op; *Med.* standser (*intr.*), hører op.

πειθώ, οῦς, ἡ, Overtalelse.

πείθω, σω, overtaler, overbeviser.

πεῖνα, ης, ἡ, Sult.

Πειραιεύς, έως ell. ῶς, ὁ, Athens Havnestad.

πειράω, άσω, hyppigst i *Med.*, forsøger, angriber.



Πεισίστρατος, ου, ὁ, Tyran i Athen.

Πελοποννήσιοι, ων, οἱ, Beboerne af Peloponnes.

Πελοπόννησος, ου, ἡ, Peloponnes.

πελταστής, οῦ, ὁ, Peltast, Kriger bevæbnet med et lille rundt Skjold (πέλτη).

πέμπω, ψω, sender.

περαίνω, ανῶ, fuldfører.

περί, *Præp.* med *Akk.*, *Dat.* og *Gen.*, omkring, om.

περίειμι (εἰμί), overgaar, besejrer.

Περικλῆς, έους, ὁ, athenisk Statsmand.

περίπλους, ου, ὁ, Sejlads omkring.

Περσεφόνη, ης, ἡ, Demeters Datter, Hades' Dronning.

Πέρσης, ου, ὁ, en Perser.

Πηλεύς, έως, ὁ, mytisk Helt.

πιστεύω, σω, stoler paa.

πιστός, ή, όν, tro, trofast.

πλανάω, ήσω, fører vild; *Med.* flakker om, vanker om.

Πλαταιαί, ῶν, αἱ, By i Bøotien.

Πλαταιεύς, έως ell. ῶς, ὁ, Indbygger i Platææ.

Πλαταιΐς, ίδος, ἡ, *Adj.*, platæisk.

πλέθρον, ου, τό, Plethron (100 Fod = ca. 32 m).

πλῆθος, ους, τό, Mængde, Tal.

πλησίον, *Adv.* med *Gen.*, nærved.

πλοῦς, πλοῦ, ὁ, Sejlads.

ποι, etsteds hen.

ποιέω, ήσω, gör; περὶ πολλοῦ ποιοῦμαι, sætter Pris paa.

ποιητής, οῦ, ὁ, Digter.

πολεμέω, ήσω, fører Krig, bekriger.

πολεμικός, ή, όν, hørende til Krigen; τὰ πολεμικά, Krigsvæsenet.

πολέμιος, α, ον, fjendtlig; οἱ πολέμιοι, Fjender.

πόλεμος, ου, ὁ, Krig.

πόλις, εως, ἡ, By, Stad, Stat.

πολιτεία, ας, ἡ, Stat, Statsforfatning, Regering.

πολίτης, ου, ὁ, Borger.

πολλάκις, *Adv.*, ofte.

πολλαπλάσιος, α, ον, mangedobbelt, mange Gange större.

Πολυκράτης, ους, ὁ, Tyran paa Øen Samos.

πολύς, λλή, λύ, megen, stor; *Plur.* mange.

πόντος, ου, ὁ, Hav.

πορεύομαι, σομαι, *Dep. Pass.*, drager, marcherer.

Ποσειδῶν, ῶνος, ὁ, Havets Gud.

ποταμός, οῦ, ὁ, Flod.

πότε, *Adv.*, naar?, hvornaar.

πούς, ποδός, ὁ, Fod.

πρᾶγμα, ατος, τό, Sag, Ting, Forhold.

πράττω, άξω, handler, gör, udfører; *Med.* fordrer.
πρέπει, *upers.*, det sömmer sig, det bör sig.
πρέσβυς, εως, ὁ, gammel Mand, Olding; *Plur.* Gesandter.
πρίν, *Konj.*, førend.
πρό, *Præp.* med *Gen.*, for, foran, för.
προδίδωμι, forraader.
προδότης, ου, ὁ, Forræder.
πρόθυμος, ον, ivrig, villig.
προΐημι, giver til Pris.
προίξ, προικός, ἡ, Medgift.
προΐστημι, stiller foran; *Med.* stiller mig i Spidsen for.
Προῖτος, ου, ὁ, mytisk Konge.
Πρόξενος, ου, ὁ, Egennavn.
πρός, *Præp.*, 1) med *Akk.* til, overfor, 2) med *Dat.* ved, 3) med *Gen.* fra, paa ens Side.
προσαγορεύω, σω, benævner, kalder.
προσβοηθέω, ήσω, iler til Hjælp.
προστάτης, ου, ὁ, Leder.
προστίθημι, paalægger, bestemmer.
προτεραῖος, α, ον, hørende til Dagen forud; hyppigst ἡ προτεραία (*sc.* ἡμέρα), Dagen forud.
πρότερος, α, ον, tidligere, först af to.
προτίθημι, fremsætter, forelægger.
προτρέπω, ψω, tilskynder.
προφητεύω, σω, forudsiger.
πρύτανις, εως, ὁ, Forstander; οἱ πρυτάνεις, et Udvalg paa 50 Mænd af de 500's Raad, der ledede Raadets og Folkeforsamlingens Forhandlinger i Athen.
Πύθιος, α, ον, pythisk, delfisk.
πύλη, ης, ἡ, sædv. i *Plur.*, Port.
Πύλος, ου, ἡ, By i Messenien.
πῦρ, ρός, τό, Ild, Blus, Baal.
Πυστίλος, ου, ὁ, Egennavn.
πῶς, *Adv.*, hvorledes?

P, ρ.

ῥᾴδιος, α, ον, let (at göre).
ῥήτωρ, ορος, ὁ, Taler, Politiker.

Σ, σ.

Σαλαμίς, ῖνος, ἡ, Ø ved Attika.
σάλπιγξ, ιγγος, ἡ, Trompet.
Σάρδεις, εων, αἱ, Sardes, Lydiens Hovedstad.
σαφής, ές, klar, tydelig.
σεμνός, ή, όν, hellig, ærværdig; αἱ Σεμναί, attisk Navn paa Eumeniderne.
σημαίνω, ανῶ, betegner, tilkendegiver.



σημεῖον, ου, τό, Tegn, Varsel.
σθένος, ους, τό, Styrke, Kraft.
σιγάω, ήσομαι, tier.
Σικελία, ας, ἡ, Sicilien.
σιτίον, ου, τό, sædv. i *Plur.*, Mad, Proviant.
σκέπτομαι, ψομαι, *Dep. Med.*, betragter, overvejer; i *Præs.* bruges sædv. σκοπέω.
Σοφοκλῆς, έους, ὁ, Tragediedigter.
σοφός, ή, όν, vís, klog.
Σπάρτη, ης, ἡ, Lakoniens Hovedstad.
Σπαρτιάτης, ου, ὁ, Spartaner.
σπείρω, σπερῶ, saar, spreder.
σπεύδω, σω, stræber efter, tilstræber.
σπονδή, ῆς, ἡ, Drikoffer; *Plur.* Overenskomst, Forlig, Fred.
σπουδάζω, άσομαι, er ivrig for.
στορέννυμι, ρῶ, udbreder, bestrør.
στρατεία, ας, ἡ, Felttog.
στράτευμα, ατος, τό, Hær.
στρατεύω, σω, sædv. i *Med.*, gör Felttog, Krigstjeneste, kæmper.
στρατηγός, οῦ, ὁ, Feltherre.
στρατιά, ᾶς, ἡ, Hær.
στρατιώτης, ου, ὁ, Soldat.
στρατόπεδον, ου, τό, Lejr.
στρατός, οῦ, ὁ, Hær.
σύγκειμαι, som *Perf. Pass.* til συντίθεμαι (aftaler) = er aftalt.
συμβουλεύω, σω, raader; *Med.* raadspörger.
σύμμαχος, ου, ὁ, Forbundsfælle.
συμμείγνυμι, 1) *trans.* blander sammen, 2) *intr.* støder sammen.
σύμπας, ασα, αν, hel, al, samtlig.
συμπόσιον, ου, τό, Drikkelag.
σύν (ogsaa ξύν), *Præp.* med *Dat.*, sammen med, med.
σύνειμι (εἰμί), er sammen med.
συνίημι, forstaar.
συνίστημι, stiller sammen; *Med.* rotte sig sammen.
συνουσία, ας, ἡ, Samvær, Omgang.
Συρακόσιοι, ων, οἱ, Indbyggerne i Syrakus.
Συράκουσαι, ῶν, αἱ, Syrakus.
Σύρος, ου, ὁ, en Syrer.
στασιώτης, ου, ὁ, Partifælle, Tilhænger.
συστράτηγος, ου, ὁ, Medfeltherre.
σφάλλω, αλῶ, rokker, skuffer.
σφενδονήτης, ου, ὁ, Slyngekaster.
σχεδόν, *Adv.*, nærved, næsten.
Σωκράτης, ους, ὁ, athenisk Filosof.
σῶμα, ατος, τό, Legeme.
σωτήρ, ῆρος, ὁ, Frelser.

σωτηρία, ας, ἡ, Frelse.
σώφρων, ον, besindig, fornuftig.

T, τ.

τάλαντον, ου, τό, Talent, Sum af 6000 Drachmer.
ταμίας, ου, ὁ, Forvalter, Skatmester.
ταξίαρχος, ου, ὁ, Anfører for en τάξις (Afdeling), Taxiark.
τάφρος, ου, ἡ, Grav, Gröft.
τάχα, *Adv.*, hurtigt, snart, let.
ταχύς, εῖα, ύ, hurtig; *Neutr.* som *Adv.* hurtigt.
τέ, og; hyppigst τέ — καί ell. τέ — τέ = baade — og.
τεῖχος, ους, τό, Mur.
τέρπω, ψω, fornøjer, glæder.
τετραπλάσιος, α, ον, firdobbelt, fire Gange större.
τί (Neutr. af τίς), *Adv.*, hvorfor.
τίθημι, sætter, stiller; τ. νόμους, giver Love.
τιμάω, ήσω, ærer.
τιμή, ῆς, ἡ, Ære, Æresbevisning.
τίμιος, α, ον, æret, dyrebar.
Τισσαφέρνης, ους, ὁ, persisk Satrap.
τολμηρός, ά, όν, dristig.
τοξεύω, σω, skyder (med Bue).
τοξότης, ου, ὁ, Bueskytte.
τότε, *Adv.*, dengang.
τραῦμα, ατος, τό, Saar.
τρέπω, ψω, vender.
τριήραρχος, ου, ὁ, Skibskaptajn.
τριήρης (sc. ναῦς), ους, ἡ, treradaaret Skib, Krigsskib.
τρίτος, η, ον, tredje.
τρόπος, ου, ὁ, Maade.
τροφή, ῆς, ἡ, Ernæring, Underhold.
τύραννος, ου, ὁ, Tyran.
τύχη, ης, ἡ, Lykke, Tilfælde.

Y, υ.

ὑγιής, ές, sund, rask.
ὕδωρ, δατος, τό, Vand.
υἱός, υἱοῦ ell. υἱέος, ὁ, Sön.
Ὑμηττός, οῦ, ὁ, Bjærg i Attika.
ὕπαρχος, ου, ὁ, Statholder, Satrap.
ὑπεκτίθημι, bringer i Sikkerhed.
ὑπέρ, *Præp.* med *Akk.* og *Gen.*, over; til Bedste for, for.
ὑπό, *Præp.* med *Akk.*, *Dat.* og *Gen.*, under; af (ved pass. Verber), med *Gen.*
ὑποπτεύω, σω, mistænker.
ὑπόσχεσις, εως, ἡ, Løfte.
ὑποτίθημι, sætter under; *Med.* raader, formaner til.
ὑστεραῖος, α, ον, hørende til den følgende Dag; hyppigst ἡ ὑστεραία (sc. ἡμέρα), den følgende Dag.
ὕστερον, *Adv.*, senere.
ὕστερος, α, ον, senere.



ὕω, lader det regne; sædv. upersonligt ὕει (sc. Ζεύς), det regner.

Φ, φ.

φαίνω, φανῶ, viser.
φανερός, ά, όν, tydelig.
φείδομαι, σομαι, *Dep. Med.*, skaaner.
φημί, siger, taler, siger ja; οὐ φημί, siger nej, nægter.
φιλέω, ήσω, elsker.
φίλιος, α, ον, venskabelig, velsindet.
Φίλιππος, ου, ὁ, makedonisk Konge.
φίλος, η, ον, kær, venlig; som *Subst.* Ven.
φοβερός, ά, όν, frygtelig.
φοβέω, ήσω, sætter i Skræk; *Med.* frygter.
φόβος, ου, ὁ, Frygt, Skræk.
Φοῖνιξ, ικος, ὁ, Fønikier.
φονεύω, σω, dræber, myrder.
φόνος, ου, ὁ, Drab, Mord.
Φρύνιχος, ου, ὁ, athenisk Feltherre og Statsmand.
φυγάς, άδος, ὁ, Flygtning.
φυγή, ῆς, ἡ, Flugt, Landflygtighed.
φυλάττω, ξω, bevogter; *Med.* vogter mig for.
φύσις, εως, ἡ, Natur.
Φωκεύς, έως, ὁ, Beboer af Landskabet Fokis.

X, χ.

χαλεπός, ή, όν, vanskelig, besværlig.
χαρίζομαι, ιοῦμαι, *Dep. Med.*, gör til Behag, föjer.
χάρις, ιτος, ἡ, Ynde, Gunst, Tak; πρὸς χάριν, til Behag.
χειμών, ῶνος, ὁ, Vinter, Storm.
χίλιοι, αι, α, tusind.
χρῆμα, ατος, τό, Ting; i *Plur.* Værdigenstande, Kostbarheder, Penge.
χρήσιμος, η, ον, nyttig.
χρησμός, οῦ, ὁ, Orakelsvar.
χρόνος, ου, ὁ, Tid.
χρυσοῦς, ῆ, οῦν, af Guld, Guld-.
χώρα, ας, ἡ, Land.

Ψ, ψ.

ψεύδω, σω, skuffer; *Pass.* skuffes, tager fejl; *Med.* lyver.
ψῆφος, ου, ἡ, Stemmesten, Stemme.
ψυχή, ῆς, ἡ, Sjæl, Liv.

Ω, ω.

ὦ, o!, sættes regelmæssigt ved Vokativ, men gengives ikke paa Dansk.
ὥρα, ας, ἡ, Tid, Aarstid.
ὡς, 1) *adverbielt* ved Adjektiver, hvor (= *quam*);

2) *Sammenligningskonj.*, som, ofte begrundende: eftersom; med *Fut. Part.* udtrykker det en Hensigt (for at —); 3) *Tidskonj.*, da; *ὡς τάχιστα,* saa snart som; 4) ved Genstandssætninger: at.

*ὥσπερ*, ligesom, som om.

*ὥστε*, saa at; derfor.

*ὠφελέω*, *ήσω*, gavner.

*ὤψ, ὠπός, ἡ,* Aasyn, Ansigt.

135

KARL HUDE

# GRÆSK ELEMENTARBOG

II

Udvalg af Xenofon, med Anmærkninger.

3die Udgave.

GYLDENDALSKE BOGHANDEL - NORDISK
FORLAG - KJØBENHAVN OG KRISTIANIA
1921

# FORORD

Denne Udgave afviger kun derved fra 2den, at Stykket af Kyrupædien er fjernet, forat Bogen ikke skulde blive dyrere end højst nødvendigt. Anmærkningerne har modtaget enkelte Forbedringer og Udvidelser.

For god Hjælp ved Korrekturlæsningen skylder jeg min Ven Lektor BOISEN Tak.

*Juni 1921.*

*KARL HUDE.*

# Andet Afsnit.

## ΞΕΝΟΦΩΝΤΟΣ ΚΥΡΟΥ ΑΝΑΒΑΣΙΣ.

### Α.

*Δαρείου καὶ Παρυσάτιδος γίγνονται παῖδες δύο,* I.
*πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος.*
*ἐπεὶ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ*
*βίου, ἐβούλετο τὼ παῖδε ἀμφοτέρω παρεῖναι. ὁ μὲν* 2
*οὖν πρεσβύτερος παρὼν ἐτύγχανε· Κῦρον δὲ μετα-*
*πέμπεται ἀπὸ τῆς ἀρχῆς ἧς αὐτὸν σατράπην ἐποίησε,*
*καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε πάντων ὅσοι εἰς*
*Καστωλοῦ πεδίον ἀθροίζονται. ἀναβαίνει οὖν ὁ Κῦ-*
*ρος λαβὼν Τισσαφέρνην ὡς φίλον, καὶ τῶν Ἑλλή-*
*νων ἔχων ὁπλίτας ἀνέβη τριακοσίους, ἄρχοντα δὲ*
*αὐτῶν Ξενίαν Παρράσιον. ἐπεὶ δὲ ἐτελεύτησε Δαρεῖος* 3
*καὶ κατέστη εἰς τὴν βασιλείαν Ἀρταξέρξης, Τισσα-*
*φέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφὸν ὡς*
*ἐπιβουλεύοι αὐτῷ. ὁ δὲ πείθεται καὶ συλλαμβάνει*
*Κῦρον ὡς ἀποκτενῶν· ἡ δὲ μήτηρ ἐξαιτησαμένη αὐ-*
*τὸν ἀποπέμπει πάλιν ἐπὶ τὴν ἀρχήν. ὁ δ᾽ ὡς ἀπ-* 4
*ῆλθε κινδυνεύσας καὶ ἀτιμασθείς, βουλεύεται ὅπως*
*μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ, ἀλλά, ἢν δύνηται,*
*βασιλεύσει ἀντ᾽ ἐκείνου. Παρύσατις μὲν δὴ ἡ μήτηρ*

ὑπῆρχε τῷ Κύρῳ, φιλοῦσα αὐτὸν μᾶλλον ἢ τὸν
5 βασιλεύοντα Ἀρταξέρξην. ὅστις δ' ἀφικνοῖτο τῶν
παρὰ βασιλέως πρὸς αὐτόν, πάντας οὕτω διατιθεὶς
ἀπεπέμπετο ὥστε αὐτῷ μᾶλλον φίλους εἶναι ἢ βα-
σιλεῖ. καὶ τῶν παρ' ἑαυτῷ δὲ βαρβάρων ἐπεμελεῖτο
ὡς πολεμεῖν τε ἱκανοὶ εἴησαν καὶ εὐνοϊκῶς ἔχοιεν
6 αὐτῷ. τὴν δὲ Ἑλληνικὴν δύναμιν ἤθροιζεν ὡς μά-
λιστα ἐδύνατο ἐπικρυπτόμενος, ὅπως ὅτι ἀπαρα-
σκευότατον λάβοι βασιλέα. ὧδε οὖν ἐποιεῖτο τὴν
συλλογήν. ὁπόσας εἶχε φυλακὰς ἐν ταῖς πόλεσι,
παρήγγειλε τοῖς φρουράρχοις ἑκάστοις λαμβάνειν
ἄνδρας Πελοποννησίους ὅτι πλείστους καὶ βελτίστους,
ὡς ἐπιβουλεύοντος Τισσαφέρνους ταῖς πόλεσιν. καὶ
γὰρ ἦσαν αἱ Ἰωνικαὶ πόλεις Τισσαφέρνους τὸ ἀρ-
χαῖον, ἐκ βασιλέως δεδομέναι, τότε δὲ ἀφειστήκεσαν
7 πρὸς Κῦρον πᾶσαι πλὴν Μιλήτου· ἐν Μιλήτῳ δὲ
Τισσαφέρνης προαισθόμενος τὰ αὐτὰ ταῦτα βουλευο-
μένους, τοὺς μὲν ἀπέκτεινε, τοὺς δ' ἐξέβαλεν. ὁ δὲ
Κῦρος ὑπολαβὼν τοὺς φεύγοντας συλλέξας στράτευμα
ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν
καὶ ἐπειρᾶτο κατάγειν τοὺς ἐκπεπτωκότας. καὶ αὕτη
αὖ ἄλλη πρόφασις ἦν αὐτῷ τοῦ ἀθροίζειν στράτευμα.
8 πρὸς δὲ βασιλέα πέμπων ἠξίου ἀδελφὸς ὢν αὐτοῦ
δοθῆναι οἷ ταύτας τὰς πόλεις μᾶλλον ἢ Τισσα-
φέρνην ἄρχειν αὐτῶν, καὶ ἡ μήτηρ συνέπραττεν
αὐτῷ ταῦτα, ὥστε βασιλεὺς τὴν μὲν πρὸς ἑαυτὸν
ἐπιβουλὴν οὐκ ᾐσθάνετο, Τισσαφέρνει δὲ ἐνόμιζε
πολεμοῦντα αὐτὸν ἀμφὶ τὰ στρατεύματα δαπανᾶν·
ὥστε οὐδὲν ἤχθετο αὐτῶν πολεμούντων. καὶ γὰρ ὁ
Κῦρος ἀπέπεμπε τοὺς γιγνομένους δασμοὺς βασιλεῖ



ἐκ τῶν πόλεων ὧν Τισσαφέρνους ἐτύγχανεν ἔχων.
ἄλλο δὲ στράτευμα αὐτῷ συνελέγετο ἐν Χερρονήσῳ 9
τῇ καταντιπέρας Ἀβύδου τόνδε τὸν τρόπον. Κλέαρχος
Λακεδαιμόνιος φυγὰς ἦν· τούτῳ συγγενόμενος ὁ
Κῦρος ἠγάσθη τε αὐτὸν καὶ δίδωσιν αὐτῷ μυρίους
δαρεικούς. ὁ δὲ λαβὼν τὸ χρυσίον στράτευμα συν-
έλεξεν ἀπὸ τούτων τῶν χρημάτων καὶ ἐπολέμει ἐκ
Χερρονήσου ὁρμώμενος τοῖς Θραξὶ τοῖς ὑπὲρ Ἑλλήσ-
ποντον οἰκοῦσι καὶ ὠφέλει τοὺς Ἕλληνας· ὥστε καὶ
χρήματα συνεβάλλοντο αὐτῷ εἰς τὴν τροφὴν τῶν
στρατιωτῶν αἱ Ἑλλησποντιακαὶ πόλεις ἑκοῦσαι. τοῦτο
δ' αὖ οὕτω τρεφόμενον ἐλάνθανεν αὐτῷ τὸ στρά-
τευμα. Ἀρίστιππος δὲ ὁ Θετταλὸς ξένος ὢν ἐτύγ- 10
χανεν αὐτῷ, καὶ πιεζόμενος ὑπὸ τῶν οἴκοι ἀντιστα-
σιωτῶν ἔρχεται πρὸς τὸν Κῦρον καὶ αἰτεῖ αὐτὸν εἰς
δισχιλίους ξένους καὶ τριῶν μηνῶν μισθόν, ὡς οὕτως
περιγενόμενος ἂν τῶν ἀντιστασιωτῶν. ὁ δὲ Κῦρος
δίδωσιν αὐτῷ εἰς τετρακισχιλίους καὶ ἓξ μηνῶν
μισθόν, καὶ δεῖται αὐτοῦ μὴ πρόσθεν καταλῦσαι
πρὸς τοὺς ἀντιστασιώτας πρὶν ἂν αὐτῷ συμβουλεύ-
σηται. οὕτω δὲ αὖ τὸ ἐν Θετταλίᾳ ἐλάνθανεν αὐτῷ
τρεφόμενον στράτευμα. Πρόξενον δὲ τὸν Βοιώτιον 11
ξένον ὄντα ἐκέλευσε λαβόντα ἄνδρας ὅτι πλείστους
παραγενέσθαι, ὡς εἰς Πισίδας βουλόμενος στρατεύε-
σθαι, ὡς πράγματα παρεχόντων τῶν Πισιδῶν τῇ
ἑαυτοῦ χώρᾳ. Σοφαίνετον δὲ τὸν Στυμφάλιον καὶ
Σωκράτην τὸν Ἀχαιόν, ξένους ὄντας καὶ τούτους,
ἐκέλευσεν ἄνδρας λαβόντας ἐλθεῖν ὅτι πλείστους, ὡς
πολεμήσων Τισσαφέρνει σὺν τοῖς φυγάσι τοῖς Μιλη-
σίων. καὶ ἐποίουν οὕτως οὗτοι.

II. Ἐπεὶ δ' ἐδόκει αὐτῷ ἤδη πορεύεσθαι ἄνω, τὴν
μὲν πρόφασιν ἐποιεῖτο ὡς Πισίδας βουλόμενος ἐκ-
βαλεῖν παντάπασιν ἐκ τῆς χώρας· καὶ ἀθροίζει ὡς
ἐπὶ τούτους τό τε βαρβαρικὸν καὶ τὸ Ἑλληνικόν.
ἐνταῦθα καὶ παραγγέλλει τῷ τε Κλεάρχῳ λαβόντι
ἥκειν ὅσον ἦν αὐτῷ στράτευμα, καὶ τῷ Ἀριστίππῳ
συναλλαγέντι πρὸς τοὺς οἴκοι ἀποπέμψαι πρὸς ἑαυτὸν
ὃ εἶχε στράτευμα· καὶ Ξενίᾳ τῷ Ἀρκάδι, ὃς αὐτῷ
προειστήκει τοῦ ἐν ταῖς πόλεσι ξενικοῦ, ἥκειν παρ-
αγγέλλει λαβόντα τοὺς ἄλλους πλὴν ὁπόσοι ἱκανοὶ
2 ἦσαν τὰς ἀκροπόλεις φυλάττειν. ἐκάλεσε δὲ καὶ τοὺς
Μίλητον πολιορκοῦντας, καὶ τοὺς φυγάδας ἐκέλευσε
σὺν αὐτῷ στρατεύεσθαι, ὑποσχόμενος αὐτοῖς, εἰ κα-
λῶς καταπράξειεν ἐφ' ἃ ἐστρατεύετο, μὴ πρόσθεν
παύσεσθαι πρὶν αὐτοὺς καταγάγοι οἴκαδε. οἱ δὲ
ἡδέως ἐπείθοντο· ἐπίστευον γὰρ αὐτῷ· καὶ λαβόντες
3 τὰ ὅπλα παρῆσαν εἰς Σάρδεις. Ξενίας μὲν δὴ τοὺς
ἐκ τῶν πόλεων λαβὼν παρεγένετο εἰς Σάρδεις, ὁπλί-
τας εἰς τετρακισχιλίους, Πρόξενος δὲ παρῆν ἔχων
ὁπλίτας μὲν εἰς πεντακοσίους καὶ χιλίους, γυμνῆτας
δὲ πεντακοσίους, Σοφαίνετος δὲ ὁ Στυμφάλιος ὁπλί-
τας ἔχων χιλίους, Σωκράτης δὲ ὁ Ἀχαιὸς ὁπλίτας
ἔχων ὡς πεντακοσίους, Πασίων δὲ ὁ Μεγαρεὺς τρια-
κοσίους μὲν ὁπλίτας, τριακοσίους δὲ πελταστὰς ἔχων
παρεγένετο· ἦν δὲ καὶ οὗτος καὶ ὁ Σωκράτης τῶν
4 ἀμφὶ Μίλητον στρατευομένων. οὗτοι μὲν εἰς Σάρδεις
αὐτῷ ἀφίκοντο. Τισσαφέρνης δέ, κατανοήσας ταῦτα
καὶ μείζονα ἡγησάμενος εἶναι ἢ ὡς ἐπὶ Πισίδας τὴν
παρασκευήν, πορεύεται ὡς βασιλέα ᾗ ἐδύνατο τάχιστα
5 ἱππέας ἔχων ὡς πεντακοσίους. καὶ βασιλεὺς μὲν



δή, ἐπεὶ ἤκουσε Τισσαφέρνους τὸν Κύρου στόλον,
ἀντιπαρεσκευάζετο.

Κῦρος δὲ ἔχων οὓς εἴρηκα ὡρμᾶτο ἀπὸ Σάρ-
δεων· καὶ ἐξελαύνει διὰ τῆς Λυδίας σταθμοὺς τρεῖς
παρασάγγας εἴκοσι καὶ δύο ἐπὶ τὸν Μαίανδρον πο-
ταμόν. τούτου τὸ εὖρος δύο πλέθρα· γέφυρα δὲ
ἐπῆν ἑπτὰ ἐζευγμένη πλοίοις. τοῦτον διαβὰς ἐξελαύ- 6
νει διὰ Φρυγίας σταθμὸν ἕνα παρασάγγας ὀκτὼ εἰς
Κολοσσάς, πόλιν οἰκουμένην, εὐδαίμονα καὶ μεγάλην.
ἐνταῦθα ἔμεινεν ἡμέρας ἑπτά· καὶ ἧκε Μένων ὁ
Θετταλὸς ὁπλίτας ἔχων χιλίους καὶ πελταστὰς πεντα-
κοσίους, Δόλοπας καὶ Αἰνιᾶνας καὶ Ὀλυνθίους. ἐν- 7
τεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας εἴκοσι
εἰς Κελαινάς, τῆς Φρυγίας πόλιν οἰκουμένην, μεγά-
λην καὶ εὐδαίμονα. ἐνταῦθα Κύρῳ βασίλεια ἦν καὶ
παράδεισος μέγας ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος
ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε γυμνάσαι βούλοιτο ἑαυ-
τόν τε καὶ τοὺς ἵππους. διὰ μέσου δὲ τοῦ παρα-
δείσου ῥεῖ ὁ Μαίανδρος ποταμός· αἱ δὲ πηγαὶ αὐτοῦ
εἰσιν ἐκ τῶν βασιλείων· ῥεῖ δὲ καὶ διὰ τῆς Κελαι-
νῶν πόλεως. ἔστι δὲ καὶ μεγάλου βασιλέως βασίλεια 8
ἐν Κελαιναῖς ἐρυμνὰ ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου
ποταμοῦ ὑπὸ τῇ ἀκροπόλει· ῥεῖ δὲ καὶ οὗτος διὰ τῆς
πόλεως καὶ ἐμβάλλει εἰς τὸν Μαίανδρον· τοῦ δὲ Μαρ-
σύου τὸ εὖρός ἐστιν εἴκοσι καὶ πέντε ποδῶν. ἐνταῦθα
λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν νικήσας ἐρίζοντά
οἱ περὶ σοφίας καὶ τὸ δέρμα κρεμάσαι ἐν τῷ ἄντρῳ
ὅθεν αἱ πηγαί· διὰ δὲ τοῦτο ὁ ποταμὸς καλεῖται
Μαρσύας. ἐνταῦθα Ξέρξης, ὅτε ἐκ τῆς Ἑλλάδος 9
ἡττηθεὶς τῇ μάχῃ ἀπεχώρει, λέγεται οἰκοδομῆσαι

ταῦτά τε τὰ βασίλεια καὶ τὴν Κελαινῶν ἀκρόπολιν.
ἐνταῦθα ἔμεινε Κῦρος ἡμέρας τριάκοντα· καὶ ἧκε
Κλέαρχος ἔχων ὁπλίτας χιλίους καὶ πελταστὰς Θρᾷ-
κας ὀκτακοσίους καὶ τοξότας Κρῆτας διακοσίους.
ἅμα δὲ καὶ Σῶσις παρῆν ὁ Συρακόσιος ἔχων ὁπλί-
τας τριακοσίους, καὶ Ἀγίας ὁ Ἀρκὰς ἔχων ὁπλίτας
χιλίους. καὶ ἐνταῦθα Κῦρος ἐξέτασιν καὶ ἀριθμὸν
τῶν Ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἐγέ-
νοντο οἱ σύμπαντες ὁπλῖται μὲν μύριοι καὶ χίλιοι,
πελτασταὶ δὲ ἀμφὶ τοὺς δισχιλίους.

IV. Παρὰ δὲ τὸν Εὐφράτην ποταμὸν πόλις ᾠκεῖτο
11 μεγάλη καὶ εὐδαίμων, Θάψακος ὄνομα. ἐνταῦθα
ἔμειναν ἡμέρας πέντε. καὶ Κῦρος μεταπεμψάμενος
τοὺς στρατηγοὺς τῶν Ἑλλήνων ἔλεγεν ὅτι ἡ ὁδὸς
ἔσοιτο πρὸς βασιλέα μέγαν εἰς Βαβυλῶνα· καὶ κε-
λεύει αὐτοὺς λέγειν ταῦτα τοῖς στρατιώταις καὶ ἀνα-
12 πείθειν ἕπεσθαι. οἱ δὲ ποιήσαντες ἐκκλησίαν ἀπ-
ήγγελλον ταῦτα· οἱ δὲ στρατιῶται ἐχαλέπαινον τοῖς
στρατηγοῖς, καὶ ἔφασαν αὐτοὺς πάλαι ταῦτ' εἰδότας
κρύπτειν, καὶ οὐκ ἔφασαν ἰέναι, ἐὰν μή τις αὐτοῖς
χρήματα διδῷ, ὥσπερ τοῖς προτέροις μετὰ Κύρου
ἀναβᾶσι, καὶ ταῦτα οὐκ ἐπὶ μάχην ἰόντων, ἀλλὰ
13 καλοῦντος τοῦ πατρὸς Κῦρον. ταῦτα οἱ στρατηγοὶ
Κύρῳ ἀπήγγελλον· ὁ δ' ὑπέσχετο ἀνδρὶ ἑκάστῳ
δώσειν πέντε ἀργυρίου μνᾶς, ἐπὴν εἰς Βαβυλῶνα
ἥκωσι, καὶ τὸν μισθὸν ἐντελῆ μέχρι ἂν καταστήσῃ
τοὺς Ἕλληνας εἰς Ἰωνίαν πάλιν. τὸ μὲν δὴ πολὺ



τοῦ Ἑλληνικοῦ οὕτως ἐπείσθη. Μένων δέ, πρὶν δῆ-
λον εἶναι τί ποιήσουσιν οἱ ἄλλοι στρατιῶται, πότερον
ἕψονται Κύρῳ ἢ οὔ, συνέλεξε τὸ αὑτοῦ στράτευμα
χωρὶς τῶν ἄλλων καὶ ἔλεξε τάδε. Ἄνδρες, ἐάν μοι 14
πεισθῆτε, οὔτε κινδυνεύσαντες οὔτε πονήσαντες τῶν
ἄλλων πλέον προτιμήσεσθε στρατιωτῶν ὑπὸ Κύρου.
τί οὖν κελεύω ποιῆσαι; νῦν δεῖται Κῦρος ἕπεσθαι
τοὺς Ἕλληνας ἐπὶ βασιλέα· ἐγὼ οὖν φημι ὑμᾶς
χρῆναι διαβῆναι τὸν Εὐφράτην ποταμὸν πρὶν δῆλον
εἶναι ὅ,τι οἱ ἄλλοι Ἕλληνες ἀποκρινοῦνται Κύρῳ.
ἢν μὲν γὰρ ψηφίσωνται ἕπεσθαι, ὑμεῖς δόξετε αἴτιοι 15
εἶναι ἄρξαντες τοῦ διαβαίνειν, καὶ ὡς προθυμοτάτοις
οὖσιν ὑμῖν χάριν εἴσεται Κῦρος καὶ ἀποδώσει· ἐπί-
σταται δ' εἴ τις καὶ ἄλλος· ἢν δὲ ἀποψηφίσωνται
οἱ ἄλλοι, ἄπιμεν μὲν ἅπαντες τοὔμπαλιν, ὑμῖν δὲ
ὡς πιστοτάτοις χρήσεται καὶ εἰς φρούρια καὶ εἰς
λοχαγίας, καὶ ἄλλου οὗτινος ἂν δέησθε οἶδα ὅτι ὡς
φίλοι τεύξεσθε Κύρου. ἀκούσαντες ταῦτα ἐπείθοντο 16
καὶ διέβησαν πρὶν τοὺς ἄλλους ἀποκρίνασθαι. Κῦ-
ρος δ' ἐπεὶ ᾔσθετο διαβεβηκότας, ἥσθη τε καὶ τῷ
στρατεύματι πέμψας Γλοῦν εἶπεν· Ἐγὼ μέν, ὦ ἄν-
δρες, ἤδη ὑμᾶς ἐπαινῶ· ὅπως δὲ καὶ ὑμεῖς ἐμὲ
ἐπαινέσετε ἐμοὶ μελήσει, ἢ μηκέτι με Κῦρον νομί-
ζετε. οἱ μὲν δὴ στρατιῶται ἐν ἐλπίσι μεγάλαις ὄντες 17
ηὔχοντο αὐτὸν εὐτυχῆσαι, Μένωνι δὲ καὶ δῶρα
ἐλέγετο πέμψαι μεγαλοπρεπῶς. ταῦτα δὲ ποιήσας
διέβαινε· συνείπετο δὲ καὶ τὸ ἄλλο στράτευμα αὐτῷ
ἅπαν. καὶ τῶν διαβαινόντων τὸν ποταμὸν οὐδεὶς
ἐβρέχθη ἀνωτέρω τῶν μαστῶν. οἱ δὲ Θαψακηνοὶ 18
ἔλεγον ὅτι οὐπώποθ' οὗτος ὁ ποταμὸς διαβατὸς

γένοιτο πεζῇ εἰ μὴ τότε, ἀλλὰ πλοίοις, ἃ τότε Ἀβρο-
κόμας προϊὼν κατέκαυσεν, ἵνα μὴ Κῦρος διαβῇ.
ἐδόκει δὴ θεῖον εἶναι καὶ σαφῶς ὑποχωρῆσαι τὸν
19 ποταμὸν Κύρῳ ὡς βασιλεύσοντι. ἐντεῦθεν ἐξελαύνει
διὰ τῆς Συρίας σταθμοὺς ἐννέα παρασάγγας πεντή-
κοντα· καὶ ἀφικνοῦνται πρὸς τὸν Ἀράξην ποταμόν.
ἐνταῦθα ἦσαν κῶμαι πολλαὶ μεσταὶ σίτου καὶ οἴνου.
ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο.
V. ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Ἀραβίας τὸν Εὐφράτην
ποταμὸν ἐν δεξιᾷ ἔχων σταθμοὺς ἐρήμους πέντε
παρασάγγας τριάκοντα καὶ πέντε. ἐν τούτῳ δὲ τῷ
τόπῳ ἦν μὲν ἡ γῆ πεδίον ἅπαν ὁμαλὲς ὥσπερ θά-
λαττα, ἀψινθίου δὲ πλῆρες· εἰ δέ τι καὶ ἄλλο ἐνῆν
ὕλης ἢ καλάμου, ἅπαντα ἦσαν εὐώδη ὥσπερ ἀρώ-
2 ματα· δένδρον δ' οὐδὲν ἐνῆν, θηρία δὲ παντοῖα,
πλεῖστοι ὄνοι ἄγριοι, πολλαὶ δὲ στρουθοὶ αἱ μεγάλαι·
ἐνῆσαν δὲ καὶ ὠτίδες καὶ δορκάδες· ταῦτα δὲ τὰ
θηρία οἱ ἱππεῖς ἐνίοτε ἐδίωκον. καὶ οἱ μὲν ὄνοι,
ἐπεί τις διώκοι, προδραμόντες ἕστασαν· πολὺ γὰρ
τῶν ἵππων ἔτρεχον θᾶττον· καὶ πάλιν, ἐπεὶ πλησιά-
ζοιεν οἱ ἵπποι, ταὐτὸν ἐποίουν, καὶ οὐκ ἦν λαβεῖν,
εἰ μὴ διαστάντες οἱ ἱππεῖς θηρῷεν διαδεχόμενοι.
τὰ δὲ κρέα τῶν ἁλισκομένων ἦν παραπλήσια τοῖς
3 ἐλαφείοις, ἁπαλώτερα δέ. στρουθὸν δὲ οὐδεὶς ἔλαβεν·
οἱ δὲ διώξαντες τῶν ἱππέων ταχὺ ἐπαύοντο· πολὺ
γὰρ ἀπέσπα φεύγουσα, τοῖς μὲν ποσὶ δρόμῳ, ταῖς
δὲ πτέρυξιν αἴρουσα ὥσπερ ἱστίῳ χρωμένη. τὰς δὲ
ὠτίδας, ἄν τις ταχὺ ἀνιστῇ, ἔστι λαμβάνειν· πέτονται
γὰρ βραχὺ ὥσπερ πέρδικες καὶ ταχὺ ἀπαγορεύουσιν.
4 τὰ δὲ κρέα αὐτῶν ἥδιστα ἦν. πορευόμενοι δὲ διὰ



ταύτης τῆς χώρας ἀφικνοῦνται ἐπὶ τὸν Μάσκαν
ποταμόν, τὸ εὖρος πλεθριαῖον. ἐνταῦθα ἦν πόλις
ἐρήμη, μεγάλη, ὄνομα δ' αὐτῇ Κορσωτή· περι-
ερρεῖτο δ' αὕτη ὑπὸ τοῦ Μάσκα κύκλῳ. ἐνταῦθ'
ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο. ἐντεῦθεν ἐξε- 5
λαύνει σταθμοὺς ἐρήμους τρεῖς καὶ δέκα παρασάγγας
ἐνενήκοντα τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων,
καὶ ἀφικνεῖται ἐπὶ Πύλας. ἐν τούτοις τοῖς σταθμοῖς
πολλὰ τῶν ὑποζυγίων ἀπώλετο ὑπὸ λιμοῦ· οὐ γὰρ
ἦν χόρτος οὐδὲ ἄλλο οὐδὲν δένδρον, ἀλλὰ ψιλὴ ἦν
ἅπασα ἡ χώρα· οἱ δὲ ἐνοικοῦντες ὄνους ἀλέτας παρὰ
τὸν ποταμὸν ὀρύττοντες καὶ ποιοῦντες εἰς Βαβυλῶνα
ἦγον καὶ ἐπώλουν καὶ ἀνταγοράζοντες σῖτον ἔζων.
τὸ δὲ στράτευμα ὁ σῖτος ἐπέλιπε, καὶ πρίασθαι οὐκ 6
ἦν εἰ μὴ ἐν τῇ Λυδίᾳ ἀγορᾷ ἐν τῷ Κύρου βαρ-
βαρικῷ, τὴν καπίθην ἀλεύρων ἢ ἀλφίτων τεττάρων
σίγλων. ὁ δὲ σίγλος δύναται ἑπτὰ ὀβολοὺς καὶ ἡμι-
ωβόλιον Ἀττικούς· ἡ δὲ καπίθη δύο χοίνικας Ἀττι-
κὰς ἐχώρει. κρέα οὖν ἐσθίοντες οἱ στρατιῶται διε-
γίγνοντο. ἦν δὲ τούτων τῶν σταθμῶν οὓς πάνυ 7
μακροὺς ἤλαυνεν, ὁπότε ἢ πρὸς ὕδωρ βούλοιτο δια-
τελέσαι ἢ πρὸς χιλόν. καὶ δή ποτε στενοχωρίας καὶ
πηλοῦ φανέντος ταῖς ἁμάξαις δυσπορεύτου ἐπέστη
ὁ Κῦρος σὺν τοῖς περὶ αὐτὸν ἀρίστοις καὶ εὐδαι-
μονεστάτοις καὶ ἔταξε Γλοῦν καὶ Πίγρητα λαβόντας
τοῦ βαρβαρικοῦ στρατοῦ συνεκβιβάζειν τὰς ἁμάξας.
ἐπεὶ δ' ἐδόκουν αὐτῷ σχολαίως ποιεῖν, ὥσπερ ὀργῇ 8
ἐκέλευσε τοὺς περὶ αὐτὸν Πέρσας τοὺς κρατίστους
συνεπισπεῦσαι τὰς ἁμάξας. ἔνθα δὴ μέρος τι τῆς
εὐταξίας ἦν θεάσασθαι. ῥίψαντες γὰρ τοὺς πορ-

φυροῦς κάνδυς ὅπου ἔτυχεν ἕκαστος ἑστηκώς, ἵεντο,
ὥσπερ ἂν δράμοι τις περὶ νίκης, καὶ μάλα κατὰ
πρανοῦς γηλόφου, ἔχοντες τούς τε πολυτελεῖς χιτῶ-
νας καὶ τὰς ποικίλας ἀναξυρίδας, ἔνιοι δὲ καὶ στρε-
πτοὺς περὶ τοῖς τραχήλοις καὶ ψέλια περὶ ταῖς χερσίν·
εὐθὺς δὲ σὺν τούτοις εἰσπηδήσαντες εἰς τὸν πηλὸν
θᾶττον ἢ ὥς τις ἂν ᾤετο μετεώρους ἐξεκόμισαν τὰς
9 ἁμάξας. τὸ δὲ σύμπαν δῆλος ἦν Κῦρος ὡς σπεύδων
πᾶσαν τὴν ὁδὸν καὶ οὐ διατρίβων ὅπου μὴ ἐπι-
σιτισμοῦ ἕνεκα ἤ τινος ἄλλου ἀναγκαίου ἐκαθέζετο,
νομίζων, ὅσῳ μὲν θᾶττον ἔλθοι, τοσούτῳ ἀπαρα-
σκευοτέρῳ βασιλεῖ μαχεῖσθαι, ὅσῳ δὲ σχολαίτερον,
τοσούτῳ πλέον συναγείρεσθαι βασιλεῖ στράτευμα. καὶ
συνιδεῖν δ' ἦν τῷ προσέχοντι τὸν νοῦν ἡ βασιλέως
ἀρχὴ πλήθει μὲν χώρας καὶ ἀνθρώπων ἰσχυρὰ οὖσα,
τοῖς δὲ μήκεσι τῶν ὁδῶν καὶ τῷ διεσπάσθαι τὰς
δυνάμεις ἀσθενής, εἴ τις διὰ ταχέων τὸν πόλεμον
10 ποιοῖτο. πέραν δὲ τοῦ Εὐφράτου ποταμοῦ κατὰ
τοὺς ἐρήμους σταθμοὺς ἦν πόλις εὐδαίμων καὶ με-
γάλη, ὄνομα δὲ Χαρμάνδη· ἐκ ταύτης οἱ στρατιῶται
ἠγόραζον τὰ ἐπιτήδεια, σχεδίαις διαβαίνοντες ὧδε.
διφθέρας ἃς εἶχον στεγάσματα ἐπίμπλασαν χόρτου
κούφου, εἶτα συνῆγον καὶ συνέσπων, ὡς μὴ ἅπτε-
σθαι τῆς κάρφης τὸ ὕδωρ· ἐπὶ τούτων διέβαινον
καὶ ἐλάμβανον τὰ ἐπιτήδεια, οἶνόν τε ἐκ τῆς βαλάνου
πεποιημένον τῆς ἀπὸ τοῦ φοίνικος καὶ σῖτον μελίνης·
11 τοῦτο γὰρ ἦν ἐν τῇ χώρᾳ πλεῖστον. ἀμφιλεξάντων
δέ τι ἐνταῦθα τῶν τέ του Μένωνος στρατιωτῶν καὶ
τῶν του Κλεάρχου ὁ Κλέαρχος κρίνας ἀδικεῖν τὸν
τοῦ Μένωνος πληγὰς ἐνέβαλεν· ὁ δὲ ἐλθὼν πρὸς



τὸ ἑαυτοῦ στράτευμα ἔλεγεν· ἀκούσαντες δὲ οἱ στρα-
τιῶται ἐχαλέπαινον καὶ ὠργίζοντο ἰσχυρῶς τῷ Κλε-
άρχῳ. τῇ δὲ αὐτῇ ἡμέρᾳ Κλέαρχος ἐλθὼν ἐπὶ τὴν 12
διάβασιν τοῦ ποταμοῦ καὶ ἐκεῖ κατασκεψάμενος τὴν
ἀγορὰν ἀφιππεύει ἐπὶ τὴν ἑαυτοῦ σκηνὴν διὰ τοῦ
Μένωνος στρατεύματος σὺν ὀλίγοις τοῖς περὶ αὐτόν·
Κῦρος δὲ οὔπω ἧκεν, ἀλλ' ἔτι προσήλαυνεν· τῶν δὲ
Μένωνος στρατιωτῶν ξύλα σχίζων τις ὡς εἶδε Κλέ-
αρχον διελαύνοντα, ἵησι τῇ ἀξίνῃ· καὶ οὗτος μὲν
αὐτοῦ ἥμαρτεν· ἄλλος δὲ λίθῳ καὶ ἄλλος, εἶτα πολ-
λοί, κραυγῆς γενομένης. ὁ δὲ καταφεύγει εἰς τὸ 13
ἑαυτοῦ στράτευμα, καὶ εὐθὺς παραγγέλλει εἰς τὰ
ὅπλα· καὶ τοὺς μὲν ὁπλίτας αὐτοῦ ἐκέλευσε μεῖναι
τὰς ἀσπίδας πρὸς τὰ γόνατα θέντας, αὐτὸς δὲ λαβὼν
τοὺς Θρᾷκας καὶ τοὺς ἱππέας οἳ ἦσαν αὐτῷ ἐν τῷ
στρατεύματι πλείους ἢ τετταράκοντα, τούτων δὲ οἱ
πλεῖστοι Θρᾷκες, ἤλαυνεν ἐπὶ τοὺς Μένωνος, ὥστ'
ἐκείνους ἐκπεπλῆχθαι καὶ αὐτὸν Μένωνα, καὶ τρέ-
χειν ἐπὶ τὰ ὅπλα· οἱ δὲ καὶ ἕστασαν ἀποροῦντες τῷ
πράγματι. ὁ δὲ Πρόξενος (ἔτυχε γὰρ ὕστερος προσ- 14
ιὼν καὶ τάξις αὐτῷ ἑπομένη τῶν ὁπλιτῶν) εὐθὺς
οὖν εἰς τὸ μέσον ἀμφοτέρων ἄγων ἔθετο τὰ ὅπλα
καὶ ἐδεῖτο τοῦ Κλεάρχου μὴ ποιεῖν ταῦτα. ὁ δ'
ἐχαλέπαινεν ὅτι αὐτοῦ ὀλίγου δεήσαντος καταλευ-
σθῆναι πράως λέγοι τὸ αὑτοῦ πάθος, ἐκέλευσέ τε
αὐτὸν ἐκ τοῦ μέσου ἐξίστασθαι. ἐν τούτῳ δὲ ἐπῄει 15
καὶ Κῦρος καὶ ἐπύθετο τὸ πρᾶγμα· εὐθὺς δ' ἔλαβε
τὰ παλτὰ εἰς τὰς χεῖρας καὶ σὺν τοῖς παροῦσι τῶν
πιστῶν ἧκεν ἐλαύνων εἰς τὸ μέσον, καὶ λέγει τάδε·
Κλέαρχε καὶ Πρόξενε καὶ οἱ ἄλλοι οἱ παρόντες 16

Ἕλληνες, οὐκ ἴστε ὅ,τι ποιεῖτε. εἰ γάρ τινα ἀλλήλοις
μάχην συνάψετε, νομίζετε ἐν τῇδε τῇ ἡμέρᾳ ἐμέ τε
κατακεκόψεσθαι καὶ ὑμᾶς οὐ πολὺ ἐμοῦ ὕστερον·
κακῶς γὰρ τῶν ἡμετέρων ἐχόντων πάντες οὗτοι οὓς
ὁρᾶτε βάρβαροι πολεμιώτεροι ἡμῖν ἔσονται τῶν παρὰ
17 βασιλεῖ ὄντων. ἀκούσας ταῦτα ὁ Κλέαρχος ἐν ἑαυτῷ
ἐγένετο· καὶ παυσάμενοι ἀμφότεροι κατὰ χώραν
ἔθεντο τὰ ὅπλα.

VI. Ἐντεῦθεν προϊόντων ἐφαίνετο ἴχνη ἵππων καὶ
κόπρος· ἠκάζετο δ' εἶναι ὁ στίβος ὡς δισχιλίων
ἱππέων. οὗτοι προϊόντες ἔκαον καὶ χιλὸν καὶ εἴ τι
ἄλλο χρήσιμον ἦν. Ὀρόντας δὲ Πέρσης ἀνὴρ γένει
τε προσήκων βασιλεῖ καὶ τὰ πολέμια λεγόμενος ἐν
τοῖς ἀρίστοις Περσῶν ἐπιβουλεύει Κύρῳ καὶ πρό-
2 σθεν πολεμήσας, καταλλαγεὶς δέ. οὗτος Κύρῳ εἶπεν,
εἰ αὐτῷ δοίη ἱππέας χιλίους, ὅτι τοὺς προκατακά-
οντας ἱππέας ἢ κατακάνοι ἂν ἐνεδρεύσας ἢ ζῶντας
πολλοὺς αὐτῶν ἂν ἕλοι καὶ κωλύσειε τοῦ κάειν ἐπι-
όντας, καὶ ποιήσειεν ὥστε μήποτε δύνασθαι αὐτοὺς
ἰδόντας τὸ Κύρου στράτευμα βασιλεῖ διαγγεῖλαι. τῷ
δὲ Κύρῳ ἀκούσαντι ταῦτα ἐδόκει ὠφέλιμα εἶναι,
καὶ ἐκέλευσεν αὐτὸν λαμβάνειν μέρος παρ' ἑκάστου
3 τῶν ἡγεμόνων. ὁ δ' Ὀρόντας νομίσας ἑτοίμους
εἶναι αὐτῷ τοὺς ἱππέας γράφει ἐπιστολὴν παρὰ βασι-
λέα ὅτι ἥξοι ἔχων ἱππέας ὡς ἂν δύνηται πλείστους·
ἀλλὰ φράσαι τοῖς ἑαυτοῦ ἱππεῦσιν ἐκέλευεν ὡς φίλιον
αὐτὸν ὑποδέχεσθαι. ἐνῆν δὲ ἐν τῇ ἐπιστολῇ καὶ τῆς
πρόσθεν φιλίας ὑπομνήματα καὶ πίστεως. ταύτην
τὴν ἐπιστολὴν δίδωσι πιστῷ ἀνδρί, ὡς ᾤετο· ὁ δὲ
4 λαβὼν Κύρῳ δίδωσιν. ἀναγνοὺς δὲ αὐτὴν ὁ Κῦρος



συλλαμβάνει Ὀρόνταν, καὶ συγκαλεῖ εἰς τὴν ἑαυτοῦ
σκηνὴν Πέρσας τοὺς ἀρίστους τῶν περὶ αὐτὸν ἑπτά,
καὶ τοὺς τῶν Ἑλλήνων στρατηγοὺς ἐκέλευσεν ὁπλίτας
ἀγαγεῖν, τούτους δὲ θέσθαι τὰ ὅπλα περὶ τὴν αὑτοῦ
σκηνήν. οἱ δὲ ταῦτα ἐποίησαν, ἀγαγόντες ὡς τρισ-
χιλίους ὁπλίτας. Κλέαρχον δὲ καὶ εἴσω παρεκάλεσε 5
σύμβουλον, ὅς γε καὶ αὐτῷ καὶ τοῖς ἄλλοις ἐδόκει
προτιμηθῆναι μάλιστα τῶν Ἑλλήνων. ἐπεὶ δ' ἐξῆλ-
θεν, ἀπήγγειλε τοῖς φίλοις τὴν κρίσιν τοῦ Ὀρόντα
ὡς ἐγένετο· οὐ γὰρ ἀπόρρητον ἦν. ἔφη δὲ Κῦρον
ἄρχειν τοῦ λόγου ὧδε. Παρεκάλεσα ὑμᾶς, ἄνδρες 6
φίλοι, ὅπως σὺν ὑμῖν βουλευόμενος, ὅ,τι δίκαιόν ἐστι
καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων, τοῦτο πράξω
περὶ Ὀρόντα τουτουί. τοῦτον γὰρ πρῶτον μὲν ὁ
ἐμὸς πατὴρ ἔδωκεν ὑπήκοον εἶναι ἐμοί· ἐπεὶ δὲ
ταχθείς, ὡς ἔφη αὐτός, ὑπὸ τοῦ ἐμοῦ ἀδελφοῦ οὗτος
ἐπολέμησεν ἐμοὶ ἔχων τὴν ἐν Σάρδεσιν ἀκρόπολιν
καὶ ἐγὼ αὐτὸν προσπολεμῶν ἐποίησα ὥστε δόξαι
τούτῳ τοῦ πρὸς ἐμὲ πολέμου παύσασθαι, καὶ δεξιὰν
ἔλαβον καὶ ἔδωκα, μετὰ ταῦτα, ἔφη, ὦ Ὀρόντα,
ἔστιν ὅ,τι σε ἠδίκησα; ἀπεκρίνατο ὅτι οὔ. πάλιν δὲ 7
ὁ Κῦρος ἠρώτα· Οὐκοῦν ὕστερον, ὡς αὐτὸς σὺ ὁμο-
λογεῖς, οὐδὲν ὑπ' ἐμοῦ ἀδικούμενος ἀποστὰς εἰς
Μυσοὺς κακῶς ἐποίεις τὴν ἐμὴν χώραν ὅ,τι ἐδύνω;
ἔφη ὁ Ὀρόντας. Οὐκοῦν, ἔφη ὁ Κῦρος, ὁπότ' αὖ
ἔγνως τὴν σαυτοῦ δύναμιν, ἐλθὼν ἐπὶ τὸν τῆς Ἀρ-
τέμιδος βωμὸν μεταμέλειν τέ σοι ἔφησθα καὶ πείσας
ἐμὲ πιστὰ πάλιν ἔδωκάς μοι καὶ ἔλαβες παρ' ἐμοῦ;
καὶ ταῦθ' ὡμολόγει ὁ Ὀρόντας. Τί οὖν, ἔφη ὁ 8
Κῦρος, ἀδικηθεὶς ὑπ' ἐμοῦ νῦν τὸ τρίτον ἐπιβου-

λεύων μοι φανερὸς γέγονας; εἰπόντος δὲ τοῦ Ὀρόντα
ὅτι οὐδὲν ἀδικηθείς, ἠρώτησεν ὁ Κῦρος αὐτόν· Ὁμο-
λογεῖς οὖν περὶ ἐμὲ ἄδικος γεγενῆσθαι; Ἡ γὰρ
ἀνάγκη, ἔφη ὁ Ὀρόντας. ἐκ τούτου πάλιν ἠρώτησεν
ὁ Κῦρος· Ἔτι οὖν ἂν γένοιο τῷ ἐμῷ ἀδελφῷ πολέ-
μιος, ἐμοὶ δὲ φίλος καὶ πιστός; ὁ δὲ ἀπεκρίνατο ὅτι
οὐδ' εἰ γενοίμην, ὦ Κῦρε, σοί γ' ἄν ποτε ἔτι δόξαιμι.
9 πρὸς ταῦτα Κῦρος εἶπε τοῖς παροῦσιν· Ὁ μὲν ἀνὴρ
τοιαῦτα μὲν πεποίηκε, τοιαῦτα δὲ λέγει· ὑμῶν δὲ
σὺ πρῶτος, ὦ Κλέαρχε, ἀπόφηναι γνώμην ὅ,τι σοι
δοκεῖ. Κλέαρχος δὲ εἶπε τάδε. Συμβουλεύω ἐγὼ
τὸν ἄνδρα τοῦτον ἐκποδὼν ποιεῖσθαι ὡς τάχιστα,
ὡς μηκέτι δέῃ τοῦτον φυλάττεσθαι, ἀλλὰ σχολὴ ᾖ
ἡμῖν τὸ κατὰ τοῦτον εἶναι τοὺς ἐθελοντὰς φίλους εὖ
10 ποιεῖν. ταύτῃ δὲ τῇ γνώμῃ ἔφη καὶ τοὺς ἄλλους
προσθέσθαι. μετὰ ταῦτα, ἔφη, κελεύοντος Κύρου
ἔλαβον τῆς ζώνης τὸν Ὀρόνταν ἐπὶ θανάτῳ ἅπαντες
ἀναστάντες, καὶ οἱ συγγενεῖς· εἶτα δ' ἐξῆγον αὐτὸν
οἷς προσετάχθη. ἐπεὶ δὲ εἶδον αὐτὸν οἵπερ πρόσθεν
προσεκύνουν, καὶ τότε προσεκύνησαν, καίπερ εἰδότες
11 ὅτι ἐπὶ θάνατον ἄγοιτο. ἐπεὶ δὲ εἰς τὴν Ἀρταπάτου
σκηνὴν εἰσήχθη τοῦ πιστοτάτου τῶν Κύρου σκη-
πτούχων, μετὰ ταῦτα οὔτε ζῶντα Ὀρόνταν οὔτε τε-
θνηκότα οὐδεὶς εἶδε πώποτε, οὐδὲ ὅπως ἀπέθανεν
οὐδεὶς εἰδὼς ἔλεγεν· ᾔκαζον δὲ ἄλλοι ἄλλως· τάφος
δὲ οὐδεὶς πώποτε αὐτοῦ ἐφάνη.

VII. Ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Βαβυλωνίας στα-
θμοὺς τρεῖς παρασάγγας δώδεκα. ἐν δὲ τῷ τρίτῳ
σταθμῷ Κῦρος ἐξέτασιν ποιεῖται τῶν Ἑλλήνων καὶ
τῶν βαρβάρων ἐν τῷ πεδίῳ περὶ μέσας νύκτας·



ἐδόκει γὰρ εἰς τὴν ἐπιοῦσαν ἕω ἥξειν βασιλέα σὺν
τῷ στρατεύματι μαχούμενον· καὶ ἐκέλευε Κλέαρχον
μὲν τοῦ δεξιοῦ κέρως ἡγεῖσθαι, Μένωνα δὲ τοῦ
εὐωνύμου, αὐτὸς δὲ τοὺς ἑαυτοῦ διέταξε. μετὰ δὲ 2
τὴν ἐξέτασιν ἅμα τῇ ἐπιούσῃ ἡμέρᾳ ἥκοντες αὐτό-
μολοι παρὰ μεγάλου βασιλέως ἀπήγγελλον Κύρῳ
περὶ τῆς βασιλέως στρατιᾶς. Κῦρος δὲ συγκαλέσας
τοὺς στρατηγοὺς καὶ λοχαγοὺς τῶν Ἑλλήνων συν-
εβουλεύετό τε πῶς τὴν μάχην ποιοῖτο καὶ αὐτὸς
παρῄνει θαρρύνων τοιάδε. Ὦ ἄνδρες Ἕλληνες, οὐκ 3
ἀνθρώπων ἀπορῶν βαρβάρων συμμάχους ὑμᾶς ἄγω.
ἀλλὰ νομίζων ἀμείνους καὶ κρείττους πολλῶν βαρ-
βάρων ὑμᾶς εἶναι, διὰ τοῦτο προσέλαβον. ὅπως οὖν
ἔσεσθε ἄνδρες ἄξιοι τῆς ἐλευθερίας ἧς κέκτησθε καὶ
ὑμᾶς ἐγὼ εὐδαιμονίζω. εὖ γὰρ ἴστε ὅτι τὴν ἐλευ-
θερίαν ἑλοίμην ἂν ἀντὶ ὧν ἔχω πάντων καὶ ἄλλων
πολλαπλασίων. ὅπως δὲ καὶ εἰδῆτε εἰς οἷον ἔρχεσθε 4
ἀγῶνα, ὑμᾶς εἰδὼς διδάξω. τὸ μὲν γὰρ πλῆθος
πολὺ καὶ κραυγῇ πολλῇ ἐπίασιν· ἂν δὲ ταῦτα ἀνά-
σχησθε, τὰ ἄλλα καὶ αἰσχυνεῖσθαί μοι δοκῶ οἵους
ἡμῖν γνώσεσθε τοὺς ἐν τῇ χώρᾳ ὄντας ἀνθρώπους.
καὶ εὖ τῶν ἐμῶν γενομένων ἐγὼ ὑμῶν τὸν μὲν
οἴκαδε βουλόμενον ἀπιέναι τοῖς οἴκοι ζηλωτὸν ποιήσω
ἀπελθεῖν, πολλοὺς δὲ οἶμαι ποιήσειν τὰ παρ' ἐμοὶ
ἑλέσθαι ἀντὶ τῶν οἴκοι. ἐνταῦθα Γαυλίτης παρών, 5
φυγὰς Σάμιος, πιστὸς δὲ Κύρῳ, εἶπεν. Καὶ μήν, ὦ
Κῦρε, λέγουσί τινες ὅτι πολλὰ ὑπισχνεῖ νῦν διὰ τὸ
ἐν τοιούτῳ εἶναι τοῦ κινδύνου προσιόντος, ἂν δὲ εὖ
γένηταί τι, οὐ μεμνήσεσθαί σέ φασιν, ἔνιοι δὲ οὐδ'
εἰ μεμνῇό τε καὶ βούλοιο δύνασθαι ἂν ἀποδοῦναι

6 ὅσα ὑπισχνεῖ. ἀκούσας ταῦτα ἔλεξεν ὁ Κῦρος· Ἀλλ'
ἔστι μὲν ἡμῖν, ὦ ἄνδρες, ἡ ἀρχὴ ἡ πατρῴα πρὸς
μὲν μεσημβρίαν μέχρι οὗ διὰ καῦμα οὐ δύνανται
οἰκεῖν ἄνθρωποι, πρὸς δὲ ἄρκτον μέχρι οὗ διὰ χει-
μῶνα· τὰ δ' ἐν μέσῳ τούτων πάντα σατραπεύουσιν
7 οἱ τοῦ ἐμοῦ ἀδελφοῦ φίλοι. ἢν δ' ἡμεῖς νικήσωμεν,
ἡμᾶς δεῖ τοὺς ἡμετέρους φίλους τούτων ἐγκρατεῖς
ποιῆσαι. ὥστε οὐ τοῦτο δέδοικα, μὴ οὐκ ἔχω ὅ,τι
δῶ ἑκάστῳ τῶν φίλων, ἂν εὖ γένηται, ἀλλὰ μὴ οὐκ
ἔχω ἱκανοὺς οἷς δῶ. ὑμῶν δὲ τῶν Ἑλλήνων καὶ
8 στέφανον ἑκάστῳ χρυσοῦν δώσω. οἱ δὲ ταῦτα ἀκού-
σαντες αὐτοί τε ἦσαν πολὺ προθυμότεροι καὶ τοῖς
ἄλλοις ἐξήγγελλον. εἰσῇσαν δὲ παρ' αὐτὸν καὶ τῶν
ἄλλων Ἑλλήνων τινὲς ἀξιοῦντες εἰδέναι τί σφίσιν
ἔσται, ἐὰν κρατήσωσιν. ὁ δὲ ἐμπιμπλὰς ἁπάντων
9 τὴν γνώμην ἀπέπεμπεν. παρεκελεύοντο δὲ αὐτῷ πάν-
τες ὅσοιπερ διελέγοντο μὴ μάχεσθαι, ἀλλ' ὄπισθεν
ἑαυτῶν τάττεσθαι. ἐν δὲ τῷ καιρῷ τούτῳ Κλέαρχος
ὧδέ πως ἤρετο τὸν Κῦρον· Οἴει γάρ σοι μαχεῖσθαι,
ὦ Κῦρε, τὸν ἀδελφόν; Νὴ Δί', ἔφη ὁ Κῦρος, εἴπερ
γε Δαρείου καὶ Παρυσάτιδός ἐστι παῖς, ἐμὸς δὲ
10 ἀδελφός, οὐκ ἀμαχεὶ ταῦτ' ἐγὼ λήψομαι. ἐνταῦθα
δὴ ἐν τῇ ἐξοπλισίᾳ ἀριθμὸς ἐγένετο τῶν μὲν Ἑλλή-
νων ἀσπὶς μυρία καὶ τετρακοσία, πελτασταὶ δὲ δισ-
χίλιοι καὶ πεντακόσιοι, τῶν δὲ μετὰ Κύρου βαρ-
βάρων δέκα μυριάδες καὶ ἅρματα δρεπανηφόρα
11 ἀμφὶ τὰ εἴκοσι. τῶν δὲ πολεμίων ἐλέγοντο εἶναι
ἑκατὸν καὶ εἴκοσι μυριάδες καὶ ἅρματα δρεπανη-
φόρα διακόσια. ἄλλοι δὲ ἦσαν ἑξακισχίλιοι ἱππεῖς,
ὧν Ἀρταγέρσης ἦρχεν· οὗτοι δὲ πρὸ αὐτοῦ βασιλέως



τεταγμένοι ἦσαν. τοῦ δὲ βασιλέως στρατεύματος 12
ἦσαν ἄρχοντες τέτταρες, τριάκοντα μυριάδων ἕκα-
στος, Ἀβροκόμας, Τισσαφέρνης, Γωβρύας, Ἀρβάκης.
τούτων δὲ παρεγένοντο ἐν τῇ μάχῃ ἐνενήκοντα μυ-
ριάδες καὶ ἅρματα δρεπανηφόρα ἑκατὸν καὶ πεντή-
κοντα· Ἀβροκόμας δὲ ὑστέρησε τῆς μάχης ἡμέραις
πέντε, ἐκ Φοινίκης ἐλαύνων. ταῦτα δὲ ἤγγελλον 13
πρὸς Κῦρον οἱ αὐτομολήσαντες παρὰ μεγάλου βασι-
λέως πρὸ τῆς μάχης, καὶ μετὰ τὴν μάχην οἳ ὕστερον
ἐλήφθησαν τῶν πολεμίων ταὐτὰ ἤγγελλον. ἐντεῦθεν 14
δὲ Κῦρος ἐξελαύνει σταθμὸν ἕνα παρασάγγας τρεῖς
συντεταγμένῳ τῷ στρατεύματι παντὶ καὶ τῷ Ἑλλη-
νικῷ καὶ τῷ βαρβαρικῷ· ᾤετο γὰρ ταύτῃ τῇ ἡμέρᾳ
μαχεῖσθαι βασιλέα· κατὰ γὰρ μέσον τὸν σταθμὸν
τοῦτον τάφρος ἦν ὀρυκτὴ βαθεῖα, τὸ μὲν εὖρος ὀρ-
γυιαὶ πέντε, τὸ δὲ βάθος ὀργυιαὶ τρεῖς. παρετέτατο 15
δὲ ἡ τάφρος ἄνω διὰ τοῦ πεδίου ἐπὶ δώδεκα παρα-
σάγγας μέχρι τοῦ Μηδίας τείχους. ἦν δὲ παρὰ
τὸν Εὐφράτην πάροδος στενὴ μεταξὺ τοῦ ποταμοῦ
καὶ τῆς τάφρου ὡς εἴκοσι ποδῶν τὸ εὖρος· ταύτην 16
δὲ τὴν τάφρον βασιλεὺς μέγας ποιεῖ ἀντὶ ἐρύματος,
ἐπειδὴ πυνθάνεται Κῦρον προσελαύνοντα. ταύτην
δὴ τὴν πάροδον Κῦρός τε καὶ ἡ στρατιὰ παρῆλθε
καὶ ἐγένοντο εἴσω τῆς τάφρου. ταύτῃ μὲν οὖν τῇ 17
ἡμέρᾳ οὐκ ἐμαχέσατο βασιλεύς, ἀλλ' ὑποχωρούντων
φανερὰ ἦσαν καὶ ἵππων καὶ ἀνθρώπων ἴχνη πολλά.
ἐνταῦθα Κῦρος Σιλανὸν καλέσας τὸν Ἀμπρακιώτην 18
μάντιν ἔδωκεν αὐτῷ δαρεικοὺς τρισχιλίους, ὅτι τῇ
ἑνδεκάτῃ ἀπ' ἐκείνης ἡμέρᾳ θυόμενος εἶπεν αὐτῷ
ὅτι βασιλεὺς οὐ μαχεῖται δέκα ἡμερῶν, Κῦρος δ'

εἶπεν· Οὐκ ἄρα ἔτι μαχεῖται, εἰ ἐν ταύταις οὐ μα-
χεῖται ταῖς ἡμέραις· ἐὰν δ' ἀληθεύσῃς, ὑπισχνοῦμαί
σοι δέκα τάλαντα. τοῦτο τὸ χρυσίον τότε ἀπέδωκεν,
19 ἐπεὶ παρῆλθον αἱ δέκα ἡμέραι. ἐπεὶ δ' ἐπὶ τῇ
τάφρῳ οὐκ ἐκώλυε βασιλεὺς τὸ Κύρου στράτευμα
διαβαίνειν, ἔδοξε καὶ Κύρῳ καὶ τοῖς ἄλλοις ἀπε-
γνωκέναι τοῦ μάχεσθαι· ὥστε τῇ ὑστεραίᾳ Κῦρος
20 ἐπορεύετο ἠμελημένως μᾶλλον. τῇ δὲ τρίτῃ ἐπί τε
τοῦ ἅρματος καθήμενος τὴν πορείαν ἐποιεῖτο καὶ
ὀλίγους ἐν τάξει ἔχων πρὸ αὑτοῦ, τὸ δὲ πολὺ αὐτῷ
ἀνατεταραγμένον ἐπορεύετο καὶ τῶν ὅπλων τοῖς στρα-
τιώταις πολλὰ ἐπὶ ἁμαξῶν ἤγετο καὶ ὑποζυγίων.

VIII. Καὶ ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν καὶ
πλησίον ἦν ὁ σταθμὸς ἔνθα ἔμελλε καταλύειν, ἡνίκα
Πατηγύας ἀνὴρ Πέρσης τῶν ἀμφὶ Κῦρον πιστῶν
προφαίνεται ἐλαύνων ἀνὰ κράτος ἱδροῦντι τῷ ἵππῳ,
καὶ εὐθὺς πᾶσιν οἷς ἐνετύγχανεν ἐβόα καὶ βαρβαρι-
κῶς καὶ ἑλληνικῶς ὅτι βασιλεὺς σὺν στρατεύματι
πολλῷ προσέρχεται ὡς εἰς μάχην παρεσκευασμένος.
2 ἔνθα δὴ πολὺς τάραχος ἐγένετο· αὐτίκα γὰρ ἐδόκουν
οἱ Ἕλληνες καὶ πάντες δὲ ἀτάκτοις σφίσιν ἐπιπεσεῖ-
3 σθαι· Κῦρός τε καταπηδήσας ἀπὸ τοῦ ἅρματος τὸν
θώρακα ἐνέδυ καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ
εἰς τὰς χεῖρας ἔλαβε, τοῖς τε ἄλλοις πᾶσι παρήγγελ-
λεν ἐξοπλίζεσθαι καὶ καθίστασθαι εἰς τὴν ἑαυτοῦ
4 τάξιν ἕκαστον. ἔνθα δὴ σὺν πολλῇ σπουδῇ καθ-
ίσταντο, Κλέαρχος μὲν τὰ δεξιὰ τοῦ κέρατος ἔχων
πρὸς τῷ Εὐφράτῃ ποταμῷ, Πρόξενος δὲ ἐχόμενος,
οἱ δ' ἄλλοι μετὰ τοῦτον, Μένων δὲ τὸ εὐώνυμον
5 κέρας ἔσχε τοῦ Ἑλληνικοῦ. τοῦ δὲ βαρβαρικοῦ ἱπ-



πεῖς μὲν Παφλαγόνες εἰς χιλίους παρὰ Κλέαρχον
ἔστησαν ἐν τῷ δεξιῷ καὶ τὸ Ἑλληνικὸν πελταστικόν,
ἐν δὲ τῷ εὐωνύμῳ Ἀριαῖός τε ὁ Κύρου ὕπαρχος
καὶ τὸ ἄλλο βαρβαρικόν, Κῦρος δὲ καὶ οἱ ἱππεῖς 6
τούτου ὅσον ἑξακόσιοι κατὰ τὸ μέσον, ὡπλισμένοι
θώραξι μὲν αὐτοὶ καὶ παραμηριδίοις καὶ κράνεσι
πάντες πλὴν Κύρου (Κῦρος δὲ ψιλὴν ἔχων τὴν κε-
φαλὴν εἰς τὴν μάχην καθίστατο), οἱ δ' ἵπποι πάντες 7
εἶχον καὶ προμετωπίδια καὶ προστερνίδια· εἶχον δὲ
καὶ μαχαίρας οἱ ἱππεῖς Ἑλληνικάς. καὶ ἤδη τε ἦν 8
μέσον ἡμέρας καὶ οὔπω καταφανεῖς ἦσαν οἱ πολέ-
μιοι· ἡνίκα δὲ δείλη ἐγίγνετο, ἐφάνη κονιορτὸς ὥσπερ
νεφέλη λευκή, χρόνῳ δὲ συχνῷ ὕστερον ὥσπερ με-
λανία τις ἐν τῷ πεδίῳ ἐπὶ πολύ. ὅτε δὲ ἐγγύτερον
ἐγίγνοντο, τάχα δὴ καὶ χαλκός τις ἤστραπτε καὶ αἱ
λόγχαι καὶ αἱ τάξεις καταφανεῖς ἐγίγνοντο. καὶ ἦσαν 9
ἱππεῖς μὲν λευκοθώρακες ἐπὶ τοῦ εὐωνύμου τῶν
πολεμίων· Τισσαφέρνης ἐλέγετο τούτων ἄρχειν· ἐχό-
μενοι δὲ γερροφόροι, ἐχόμενοι δὲ ὁπλῖται σὺν ποδή-
ρεσι ξυλίναις ἀσπίσιν· Αἰγύπτιοι δ' οὗτοι ἐλέγοντο
εἶναι· ἄλλοι δ' ἱππεῖς, ἄλλοι τοξόται. πάντες δ' οὗτοι
κατὰ ἔθνη ἐν πλαισίῳ πλήρει ἀνθρώπων ἕκαστον τὸ
ἔθνος ἐπορεύετο. πρὸ δὲ αὐτῶν ἅρματα διαλείποντα 10
συχνὸν ἀπ' ἀλλήλων, τὰ δὴ δρεπανηφόρα καλούμενα·
εἶχον δὲ τὰ δρέπανα ἐκ τῶν ἀξόνων εἰς πλάγιον
ἀποτεταμένα καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα,
ὡς διακόπτειν ὅτῳ ἐντυγχάνοιεν. ἡ δὲ γνώμη ἦν
ὡς εἰς τὰς τάξεις τῶν Ἑλλήνων ἐλῶντα καὶ δια-
κόψοντα. ὃ μέντοι Κῦρος εἶπεν, ὅτε καλέσας παρ- 11
εκελεύετο τοῖς Ἕλλησι τὴν κραυγὴν τῶν βαρβάρων

ἀνέχεσθαι, ἐψεύσθη τοῦτο· οὐ γὰρ κραυγῇ ἀλλὰ σιγῇ
ὡς ἀνυστὸν καὶ ἡσυχῇ ἐν ἴσῳ καὶ βραδέως προσ-
12 ῇσαν. καὶ ἐν τούτῳ Κῦρος παρελαύνων αὐτὸς σὺν
Πίγρητι τῷ ἑρμηνεῖ καὶ ἄλλοις τρισὶν ἢ τέτταρσι τῷ
Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα κατὰ μέσον τὸ
τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεὺς εἴη· κἂν τοῦτ᾽, ἔφη,
13 νικῶμεν, πάνθ᾽ ἡμῖν πεποίηται. ὁρῶν δὲ ὁ Κλέ-
αρχος τὸ μέσον στῖφος καὶ ἀκούων Κύρου ἔξω ὄντα
τοῦ εὐωνύμου βασιλέα (τοσοῦτον γὰρ πλήθει περιῆν
βασιλεὺς ὥστε μέσον τῶν ἑαυτοῦ ἔχων τοῦ Κύρου
εὐωνύμου ἔξω ἦν) — ἀλλ᾽ ὅμως ὁ Κλέαρχος οὐκ
ἤθελεν ἀποσπάσαι ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας,
φοβούμενος μὴ κυκλωθείη ἑκατέρωθεν, τῷ δὲ Κύρῳ
14 ἀπεκρίνατο ὅτι αὐτῷ μέλοι ὅπως καλῶς ἔχοι. καὶ
ἐν τούτῳ τῷ καιρῷ τὸ μὲν βαρβαρικὸν στράτευμα
ὁμαλῶς προῄει, τὸ δὲ Ἑλληνικὸν ἔτι ἐν τῷ αὐτῷ μένον
συνετάττετο ἐκ τῶν ἔτι προσιόντων. καὶ ὁ Κῦρος παρ-
ελαύνων οὐ πάνυ πρὸς αὐτῷ τῷ στρατεύματι κατε-
θεᾶτο ἑκατέρωσε ἀποβλέπων εἴς τε τοὺς πολεμίους καὶ
15 τοὺς φίλους. ἰδὼν δὲ αὐτὸν ἀπὸ τοῦ Ἑλληνικοῦ Ξενο-
φῶν Ἀθηναῖος, πελάσας ὡς συναντῆσαι ἤρετο εἴ τι
παραγγέλλοι· ὁ δ᾽ ἐπιστήσας εἶπε καὶ λέγειν ἐκέλευε
πᾶσιν ὅτι καὶ τὰ ἱερὰ καλὰ καὶ τὰ σφάγια καλά.
16 ταῦτα δὲ λέγων θορύβου ἤκουσε διὰ τῶν τάξεων
ἰόντος, καὶ ἤρετο τίς ὁ θόρυβος εἴη. ὁ δὲ εἶπεν
ὅτι τὸ σύνθημα παρέρχεται δεύτερον ἤδη. καὶ ὃς
ἐθαύμασε τίς παραγγέλλει καὶ ἤρετο ὅ,τι εἴη τὸ σύν-
17 θημα. ὁ δ᾽ ἀπεκρίνατο· Ζεὺς σωτὴρ καὶ νίκη. ὁ δὲ
Κῦρος ἀκούσας Ἀλλὰ δέχομαί τε, ἔφη, καὶ τοῦτο
ἔστω. ταῦτα δ᾽ εἰπὼν εἰς τὴν αὑτοῦ χώραν ἀπ-



ἤλαυνεν· καὶ οὐκέτι τρία ἢ τέτταρα στάδια διειχέτην
τὼ φάλαγγε ἀπ᾽ ἀλλήλων ἡνίκα ἐπαιάνιζόν τε οἱ
Ἕλληνες καὶ ἤρχοντο ἀντίοι ἰέναι τοῖς πολεμίοις.
ὡς δὲ πορευομένων ἐξεκύμαινέ τι τῆς φάλαγγος, 18
τὸ ὑπολειπόμενον ἤρξατο δρόμῳ θεῖν· καὶ ἅμα
ἐφθέγξαντο πάντες οἷον τῷ Ἐνυαλίῳ ἐλελίζουσι, καὶ
πάντες δὲ ἔθεον. λέγουσι δέ τινες, ὡς καὶ ταῖς
ἀσπίσι πρὸς τὰ δόρατα ἐδούπησαν φόβον ποιοῦντες
τοῖς ἵπποις. πρὶν δὲ τόξευμα ἐξικνεῖσθαι ἐκκλίνουσιν 19
οἱ βάρβαροι καὶ φεύγουσιν. καὶ ἐνταῦθα δὴ ἐδίωκον
μὲν κατὰ κράτος οἱ Ἕλληνες, ἐβόων δὲ ἀλλήλοις μὴ
θεῖν δρόμῳ, ἀλλ᾽ ἐν τάξει ἕπεσθαι. τὰ δ᾽ ἅρματα 20
ἐφέροντο τὰ μὲν δι᾽ αὐτῶν τῶν πολεμίων, τὰ δὲ
καὶ διὰ τῶν Ἑλλήνων κενὰ ἡνιόχων. οἱ δ᾽ ἐπεὶ
προΐδοιεν, διΐσταντο· ἔστι δ᾽ ὅστις καὶ κατελήφθη
ὥσπερ ἐν ἱπποδρόμῳ ἐκπλαγείς· καὶ οὐδὲν μέντοι
οὐδὲ τοῦτον παθεῖν ἔφασαν, οὐδ᾽ ἄλλος δὲ τῶν
Ἑλλήνων ἐν ταύτῃ τῇ μάχῃ ἔπαθεν οὐδεὶς οὐδέν,
πλὴν ἐπὶ τῷ εὐωνύμῳ τοξευθῆναί τις ἐλέγετο. Κῦρος 21
δ᾽ ὁρῶν τοὺς Ἕλληνας νικῶντας τὸ καθ᾽ αὑτοὺς
καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνούμενος ἤδη
ὑπὸ τῶν ἀμφ᾽ αὐτόν, οὐδ᾽ ὣς ἐξήχθη διώκειν, ἀλλὰ
συνεσπειραμένην ἔχων τὴν τῶν σὺν ἑαυτῷ ἑξακοσίων
ἱππέων τάξιν ἐπεμελεῖτο ὅ,τι ποιήσει βασιλεύς. καὶ
γὰρ ᾔδει αὐτὸν ὅτι μέσον ἔχοι τοῦ Περσικοῦ στρα-
τεύματος. καὶ πάντες δ᾽ οἱ τῶν βαρβάρων ἄρχοντες 22
μέσον ἔχοντες τὸ αὑτῶν ἡγοῦνται, νομίζοντες οὕτω
καὶ ἐν ἀσφαλεστάτῳ εἶναι, ἢν ᾖ ἡ ἰσχὺς αὐτῶν ἑκα-
τέρωθεν, καὶ εἴ τι παραγγεῖλαι χρῄζοιεν, ἐν ἡμίσει
ἂν χρόνῳ αἰσθάνεσθαι τὸ στράτευμα. καὶ βασιλεὺς 23

δὴ τότε μέσον ἔχων τῆς αὑτοῦ στρατιᾶς ὅμως ἔξω
ἐγένετο τοῦ Κύρου εὐωνύμου κέρατος. ἐπεὶ δ' οὐ-
δεὶς αὐτῷ ἐμάχετο ἐκ τοῦ ἀντίου οὐδὲ τοῖς αὐτοῦ
τεταγμένοις ἔμπροσθεν, ἐπέκαμπτεν ὡς εἰς κύκλω-
24 σιν. ἔνθα δὴ Κῦρος δείσας μὴ ὄπισθεν γενόμενος
κατακόψῃ τὸ Ἑλληνικὸν ἐλαύνει ἀντίος· καὶ ἐμβαλὼν
σὺν τοῖς ἑξακοσίοις νικᾷ τοὺς πρὸ βασιλέως τεταγ-
μένους καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους,
καὶ ἀποκτεῖναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ Ἀρτα-
25 γέρσην τὸν ἄρχοντα αὐτῶν. ὡς δ' ἡ τροπὴ ἐγένετο,
διασπείρονται καὶ οἱ Κύρου ἑξακόσιοι εἰς τὸ διώκειν
ὁρμήσαντες, πλὴν πάνυ ὀλίγοι ἀμφ' αὐτὸν κατελεί-
26 φθησαν, σχεδὸν οἱ ὁμοτράπεζοι καλούμενοι. σὺν
τούτοις δὲ ὢν καθορᾷ βασιλέα καὶ τὸ ἀμφ' ἐκεῖνον
στῖφος· καὶ εὐθὺς οὐκ ἠνέσχετο, ἀλλ' εἰπών· Τὸν
ἄνδρα ὁρῶ, ἵετο ἐπ' αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον
καὶ τιτρώσκει διὰ τοῦ θώρακος, ὥς φησι Κτησίας
27 ὁ ἰατρός, καὶ ἰάσασθαι αὐτὸς τὸ τραῦμά φησι. παί-
οντα δ' αὐτὸν ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλ-
μὸν βιαίως· καὶ ἐνταῦθα μαχόμενοι καὶ βασιλεὺς
καὶ Κῦρος καὶ οἱ ἀμφ' αὐτοὺς ὑπὲρ ἑκατέρου, ὁπό-
σοι μὲν τῶν ἀμφὶ βασιλέα ἀπέθνησκον Κτησίας λέγει·
παρ' ἐκείνῳ γὰρ ἦν· Κῦρος δὲ αὐτός τε ἀπέθανε
καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ'
28 αὐτῷ. Ἀρταπάτης δ' ὁ πιστότατος αὐτῷ τῶν σκη-
πτούχων λέγεται, ἐπειδὴ πεπτωκότα εἶδε Κῦρον,
29 καταπηδήσας ἀπὸ τοῦ ἵππου περιπεσεῖν αὐτῷ. καὶ
οἱ μέν φασι βασιλέα κελεῦσαί τινα ἐπισφάξαι αὐτὸν
Κύρῳ, οἱ δὲ αὐτὸν ἐπισφάξασθαι σπασάμενον τὸν
ἀκινάκην· εἶχε γὰρ χρυσοῦν· καὶ στρεπτὸν δ' ἐφό-



ρει καὶ ψέλια καὶ τἆλλα ὥσπερ οἱ ἄριστοι Περ-
σῶν· ἐτετίμητο γὰρ ὑπὸ Κύρου δι' εὔνοιάν τε καὶ
πιστότητα.

---

## B.

Ἀφικνοῦνται δὲ ἐπὶ τὸν Ζαπάταν ποταμόν, τὸ V.
εὖρος τεττάρων πλέθρων. καὶ ἐνταῦθα ἔμειναν ἡμέ-
ρας τρεῖς· ἐν δὲ ταύταις ὑποψίαι μὲν ἦσαν, φανερὰ
δὲ οὐδεμία ἐφαίνετο ἐπιβουλή. ἔδοξεν οὖν τῷ Κλε- 2
άρχῳ συγγενέσθαι τῷ Τισσαφέρνει, εἴ πως δύναιτο
παῦσαι τὰς ὑποψίας, πρὶν ἐξ αὐτῶν πόλεμον γενέ-
σθαι· καὶ ἔπεμψέ τινα ἐροῦντα ὅτι συγγενέσθαι αὐτῷ
χρήζει. ὁ δὲ ἑτοίμως ἐκέλευεν ἥκειν. ἐπειδὴ δὲ 3
συνῆλθον, λέγει ὁ Κλέαρχος τάδε. Ἐγώ, ὦ Τισσα-
φέρνη, οἶδα μὲν ἡμῖν ὅρκους γεγενημένους καὶ δε-
ξιὰς δεδομένας μὴ ἀδικήσειν ἀλλήλους· φυλαττόμενον
δὲ σέ τε ὁρῶ ὡς πολεμίους ἡμᾶς καὶ ἡμεῖς ὁρῶντες
ταῦτα ἀντιφυλαττόμεθα. ἐπεὶ δὲ σκοπῶν οὐ δύναμαι 4
οὔτε σὲ αἰσθέσθαι πειρώμενον ἡμᾶς κακῶς ποιεῖν
ἐγώ τε σαφῶς οἶδα ὅτι ἡμεῖς γε οὐδὲ ἐπινοοῦμεν
τοιοῦτον οὐδέν, ἔδοξέ μοι εἰς λόγους σοι ἐλθεῖν,
ὅπως, εἰ δυναίμεθα, ἐξέλοιμεν ἀλλήλων τὴν ἀπιστίαν.
καὶ γὰρ οἶδα ἀνθρώπους ἤδη τοὺς μὲν ἐκ διαβολῆς, 5
τοὺς δὲ καὶ ἐξ ὑποψίας, οἳ φοβηθέντες ἀλλήλους, φθά-
σαι βουλόμενοι πρὶν παθεῖν, ἐποίησαν ἀνήκεστα κακὰ
τοὺς οὔτε μέλλοντας οὔτ' ἂν βουλομένους τοιοῦτον
οὐδέν. τὰς οὖν τοιαύτας ἀγνωμοσύνας νομίζων συν- 6
ουσίαις μάλιστα ἂν παύεσθαι ἥκω καὶ διδάσκειν σε

7 βούλομαι ὡς σὺ ἡμῖν οὐκ ὀρθῶς ἀπιστεῖς. πρῶτον
μὲν γὰρ καὶ μέγιστον οἱ θεῶν ἡμᾶς ὅρκοι κωλύουσι
πολεμίους εἶναι ἀλλήλοις· ὅστις δὲ τούτων σύνοιδεν
αὑτῷ παρημεληκώς, τοῦτον ἐγὼ οὔποτ' ἂν εὐδαι-
μονίσαιμι. τὸν γὰρ θεῶν πόλεμον οὐκ οἶδα οὔτ'
ἀπὸ ποίου ἂν τάχους φεύγων τις ἀποφύγοι οὔτ'
εἰς ποῖον ἂν σκότος ἀποδραίη οὔθ' ὅπως ἂν εἰς
ἐχυρὸν χωρίον ἀποσταίη. πάντῃ γὰρ πάντα τοῖς
θεοῖς ὑποχείρια καὶ πανταχῇ πάντων ἴσον οἱ θεοὶ
8 κρατοῦσι. περὶ μὲν δὴ τῶν θεῶν τε καὶ τῶν ὅρκων
οὕτω γιγνώσκω, παρ' οὓς ἡμεῖς τὴν φιλίαν συν-
θέμενοι κατεθέμεθα· τῶν δ' ἀνθρωπίνων σὲ ἐγὼ
ἐν τῷ παρόντι νομίζω μέγιστον εἶναι ἡμῖν ἀγαθόν.
9 σὺν μὲν γὰρ σοὶ πᾶσα μὲν ὁδὸς εὔπορος, πᾶς δὲ
ποταμὸς διαβατός, τῶν τε ἐπιτηδείων οὐκ ἀπορία·
ἄνευ δὲ σοῦ πᾶσα μὲν διὰ σκότους ἡ ὁδός· οὐδὲν
γὰρ αὐτῆς ἐπιστάμεθα· πᾶς δὲ ποταμὸς δύσπορος,
πᾶς δὲ ὄχλος φοβερός, φοβερώτατον δ' ἐρημία·
10 μεστὴ γὰρ πολλῆς ἀπορίας ἐστίν. εἰ δὲ δὴ καὶ μα-
νέντες σε κατακτείναιμεν, ἄλλο τι ἂν ἢ τὸν εὐεργέτην
κατακτείναντες πρὸς βασιλέα τὸν μέγιστον ἔφεδρον
ἀγωνιζοίμεθα; ὅσων δὲ δὴ καὶ οἵων ἂν ἐλπίδων
ἐμαυτὸν στερήσαιμι, εἴ σέ τι κακὸν ἐπιχειρήσαιμι
11 ποιεῖν, ταῦτα λέξω. ἐγὼ γὰρ Κῦρον ἐπεθύμησά μοι
φίλον γενέσθαι, νομίζων τῶν τότε ἱκανώτατον εἶναι
εὖ ποιεῖν ὃν βούλοιτο· σὲ δὲ νῦν ὁρῶ τήν τε Κύρου
δύναμιν καὶ χώραν ἔχοντα καὶ τὴν σαυτοῦ σῴζοντα,
τὴν δὲ βασιλέως δύναμιν, ᾗ Κῦρος πολεμίᾳ ἐχρῆτο,
12 σοὶ ταύτην σύμμαχον οὖσαν. τούτων δὲ τοιούτων
ὄντων τίς οὕτω μαίνεται ὅστις οὐ βούλεται σοὶ φίλος



εἶναι; ἀλλὰ μὴν — ἐρῶ γὰρ καὶ ταῦτα ἐξ ὧν ἔχω
ἐλπίδας καὶ σὲ βουλήσεσθαι φίλον ἡμῖν εἶναι· οἶδα 13
μὲν γὰρ ὑμῖν Μυσοὺς λυπηροὺς ὄντας, οὓς νομίζω
ἂν σὺν τῇ παρούσῃ δυνάμει ταπεινοὺς ὑμῖν παρα-
σχεῖν· οἶδα δὲ καὶ Πισίδας· ἀκούω δὲ καὶ ἄλλα
ἔθνη πολλὰ τοιαῦτα εἶναι, ἃ οἶμαι ἂν παῦσαι ἐν-
οχλοῦντα ἀεὶ τῇ ὑμετέρᾳ εὐδαιμονίᾳ. Αἰγυπτίους δέ,
οἷς μάλιστα ὑμᾶς νῦν γιγνώσκω τεθυμωμένους, οὐχ
ὁρῶ ποίᾳ δυνάμει συμμάχῳ χρησάμενοι μᾶλλον ἂν
κολάσαισθε τῆς νῦν σὺν ἐμοὶ οὔσης. ἀλλὰ μὴν ἔν 14
γε τοῖς πέριξ οἰκοῦσι σὺ εἰ μὲν βούλοιό τῳ φίλος
εἶναι, ὡς μέγιστος ἂν εἴης, εἰ δέ τίς σε λυποίη, ὡς
δεσπότης ἂν ἀναστρέφοιο ἔχων ἡμᾶς ὑπηρέτας, οἵ
σοι οὐκ ἂν τοῦ μισθοῦ ἕνεκα μόνον ὑπηρετοῖμεν,
ἀλλὰ καὶ τῆς χάριτος ἣν σωθέντες ὑπὸ σοῦ σοὶ ἂν
ἔχοιμεν δικαίως. ἐμοὶ μὲν ταῦτα πάντα ἐνθυμου- 15
μένῳ οὕτω δοκεῖ θαυμαστὸν εἶναι τὸ σὲ ἡμῖν ἀπι-
στεῖν ὥστε καὶ ἥδιστ' ἂν ἀκούσαιμι τὸ ὄνομα τίς
οὕτως ἐστὶ δεινὸς λέγειν ὥστε σε πεῖσαι λέγων ὡς
ἡμεῖς σοι ἐπιβουλεύομεν. Κλέαρχος μὲν οὖν τοσαῦτα
εἶπε· Τισσαφέρνης δὲ ὧδε ἀπημείφθη.

Ἀλλ' ἥδομαι μέν, ὦ Κλέαρχε, ἀκούων σου 16
φρονίμους λόγους· ταῦτα γὰρ γιγνώσκων εἴ τι ἐμοὶ
κακὸν βουλεύοις, ἅμα ἄν μοι δοκεῖς καὶ σαυτῷ
κακόνους εἶναι. ὡς δ' ἂν μάθῃς ὅτι οὐδ' ἂν ὑμεῖς
δικαίως οὔτε βασιλεῖ οὔτ' ἐμοὶ ἀπιστοίητε, ἀντάκουσον.
εἰ γὰρ ὑμᾶς ἐβουλόμεθα ἀπολέσαι, πότερά σοι δο- 17
κοῦμεν ἱππέων πλήθους ἀπορεῖν ἢ πεζῶν ἢ ὁπλί-
σεως, ἐν ᾗ ὑμᾶς μὲν βλάπτειν ἱκανοὶ εἴημεν ἄν,
ἀντιπάσχειν δὲ οὐδεὶς κίνδυνος; ἀλλὰ χωρίων ἐπι- 18

τηδείων ὑμῖν ἐπιτίθεσθαι ἀπορεῖν ἂν σοι δοκοῦμεν; οὐ τοσαῦτα μὲν πεδία, ἃ ὑμεῖς φίλια ὄντα σὺν πολλῷ πόνῳ διαπορεύεσθε, τοσαῦτα δὲ ὄρη ὁρᾶτε ὑμῖν ὄντα πορευτέα, ἃ ἡμῖν ἔξεστι προκαταλαβοῦσιν ἄπορα ὑμῖν παρέχειν, τοσοῦτοι δ' εἰσὶ ποταμοί, ἐφ' ὧν ἔξεστιν ἡμῖν ταμιεύεσθαι ὁπόσοις ἂν ὑμῶν βουλοίμεθα μάχεσθαι; εἰσὶ δ' αὐτῶν οὓς οὐδ' ἂν παντάπασι διαβαίητε, εἰ μὴ ἡμεῖς ὑμᾶς διαπορεύοιμεν.
19 εἰ δ' ἐν πᾶσι τούτοις ἡττῴμεθα, ἀλλὰ τό γέ τοι πῦρ κρεῖττον τοῦ καρποῦ ἐστιν· ὃν ἡμεῖς δυναίμεθ' ἂν κατακαύσαντες λιμὸν ὑμῖν ἀντιτάξαι, ᾧ ὑμεῖς οὐδ'
20 εἰ πάνυ ἀγαθοὶ εἴητε μάχεσθαι ἂν δύναισθε. πῶς ἂν οὖν ἔχοντες τοσούτους πόρους πρὸς τὸ ὑμῖν πολεμεῖν, καὶ τούτων μηδένα ἡμῖν ἐπικίνδυνον, ἔπειτα ἐκ τούτων πάντων τοῦτον ἂν τὸν τρόπον ἐξελοίμεθα ὃς μόνος μὲν πρὸς θεῶν ἀσεβής, μόνος δὲ
21 πρὸς ἀνθρώπων αἰσχρός; παντάπασι δὲ ἀπόρων ἐστὶ καὶ ἀμηχάνων καὶ ἐν ἀνάγκῃ ἐχομένων, καὶ τούτων πονηρῶν, οἵτινες ἐθέλουσι δι' ἐπιορκίας τε πρὸς θεοὺς καὶ ἀπιστίας πρὸς ἀνθρώπους πράττειν τι. οὐχ οὕτως ἡμεῖς, ὦ Κλέαρχε, οὔτε ἀλόγιστοι
22 οὔτε ἠλίθιοί ἐσμεν. ἀλλὰ τί δὴ ὑμᾶς ἐξὸν ἀπολέσαι οὐκ ἐπὶ τοῦτο ἤλθομεν; εὖ ἴσθι ὅτι ὁ ἐμὸς ἔρως τούτου αἴτιος τοῦ τοῖς Ἕλλησιν ἐμὲ πιστὸν γενέσθαι καὶ ᾧ Κῦρος ἀνέβη ξενικῷ διὰ μισθοδοσίας πιστεύων, τούτῳ ἐμὲ καταβῆναι δι' εὐεργεσίας ἰσχυ-
23 ρόν. ὅσα δ' ἐμοὶ χρήσιμοι ὑμεῖς ἐστε, τὰ μὲν καὶ σὺ εἶπας, τὸ δὲ μέγιστον ἐγὼ οἶδα· τὴν μὲν γὰρ ἐπὶ τῇ κεφαλῇ τιάραν βασιλεῖ μόνῳ ἔξεστιν ὀρθὴν ἔχειν,



τὴν δ' ἐπὶ τῇ καρδίᾳ ἴσως ἂν ὑμῶν παρόντων καὶ ἕτερος εὐπετῶς ἔχοι.

Ταῦτα εἰπὼν ἔδοξε τῷ Κλεάρχῳ ἀληθῆ λέγειν, 24
καὶ εἶπεν· Οὐκοῦν, ἔφη, οἵτινες τοσούτων ἡμῖν εἰς φιλίαν ὑπαρχόντων πειρῶνται διαβάλλοντες ποιῆσαι
πολεμίους ἡμᾶς, ἄξιοί εἰσι τὰ ἔσχατα παθεῖν; Καὶ 25
ἐγὼ μέν γε, ἔφη ὁ Τισσαφέρνης, εἰ βούλεσθέ μοι οἵ τε στρατηγοὶ καὶ οἱ λοχαγοὶ εἰς λόγους ἐλθεῖν, ἐν τῷ ἐμφανεῖ λέξω τοὺς πρὸς ἐμὲ λέγοντας ὡς σὺ
ἐμοὶ ἐπιβουλεύεις καὶ τῇ σὺν ἐμοὶ στρατιᾷ. Ἐγὼ 26
δέ, ἔφη ὁ Κλέαρχος, ἄξω πάντας, καὶ σοὶ αὖ δη-
λώσω ὅθεν ἐγὼ περὶ σοῦ ἀκούω. ἐκ τούτων δὴ 27
τῶν λόγων ὁ Τισσαφέρνης φιλοφρονούμενος τότε μὲν μένειν τε αὐτὸν ἐκέλευε καὶ σύνδειπνον ἐποιήσατο· τῇ δὲ ὑστεραίᾳ ὁ Κλέαρχος ἀπελθὼν ἐπὶ τὸ στρατόπεδον δῆλός τ' ἦν πάνυ φιλικῶς οἰόμενος διακεῖσθαι τῷ Τισσαφέρνει καὶ ἃ ἔλεγεν ἐκεῖνος ἀπήγγελλεν, ἔφη τε χρῆναι ἰέναι παρὰ Τισσαφέρνην οὓς ἐκέλευσε, καὶ οἳ ἂν ἐλεγχθῶσι διαβάλλοντες τῶν Ἑλλήνων, ὡς προδότας αὐτοὺς καὶ κακόνους τοῖς
Ἕλλησιν ὄντας τιμωρηθῆναι. ὑπώπτευε δὲ εἶναι τὸν 28
διαβάλλοντα Μένωνα, εἰδὼς αὐτὸν καὶ συγγεγενημένον Τισσαφέρνει μετ' Ἀριαίου καὶ στασιάζοντα αὐτῷ καὶ ἐπιβουλεύοντα, ὅπως τὸ στράτευμα ἅπαν
πρὸς αὐτὸν λαβὼν φίλος ᾖ Τισσαφέρνει. ἐβούλετο 29
δὲ καὶ ὁ Κλέαρχος ἅπαν τὸ στράτευμα πρὸς ἑαυτὸν ἔχειν τὴν γνώμην καὶ τοὺς παραλυποῦντας ἐκποδὼν εἶναι. τῶν δὲ στρατιωτῶν ἀντέλεγόν τινες αὐτῷ μὴ ἰέναι πάντας τοὺς στρατηγοὺς καὶ λοχαγοὺς μηδὲ
πιστεύειν Τισσαφέρνει. ὁ δὲ Κλέαρχος ἰσχυρῶς κατ- 30

έτεινεν, ἔστε διεπράξατο πέντε μὲν στρατηγοὺς ἰέναι,
εἴκοσι δὲ λοχαγούς· συνηκολούθησαν δὲ ὡς εἰς ἀγο-
ρὰν καὶ τῶν ἄλλων στρατιωτῶν ὡς διακόσιοι.
31 Ἐπεὶ δὲ ἦσαν ἐπὶ ταῖς θύραις ταῖς Τισσαφέρ-
νους, οἱ μὲν στρατηγοὶ παρεκλήθησαν εἴσω, Πρό-
ξενος Βοιώτιος, Μένων Θετταλός, Ἀγίας Ἀρκάς,
Κλέαρχος Λάκων, Σωκράτης Ἀχαιός· οἱ δὲ λοχαγοὶ
32 ἐπὶ ταῖς θύραις ἔμενον. οὐ πολλῷ δὲ ὕστερον ἀπὸ
τοῦ αὐτοῦ σημείου οἵ τ' ἔνδον συνελαμβάνοντο καὶ
οἱ ἔξω κατεκόπησαν. μετὰ δὲ ταῦτα τῶν βαρβάρων
τινὲς ἱππέων διὰ τοῦ πεδίου ἐλαύνοντες ᾧτινι ἐν-
τυγχάνοιεν Ἕλληνι ἢ δούλῳ ἢ ἐλευθέρῳ πάντας
33 ἔκτεινον. οἱ δὲ Ἕλληνες τήν τε ἱππασίαν ἐθαύμαζον
ἐκ τοῦ στρατοπέδου ὁρῶντες καὶ ὅ,τι ἐποίουν ἠμφ-
εγνόουν, πρὶν Νίκαρχος Ἀρκὰς ἧκε φεύγων τετρω-
μένος εἰς τὴν γαστέρα καὶ τὰ ἔντερα ἐν ταῖς χερσὶν
34 ἔχων, καὶ εἶπε πάντα τὰ γεγενημένα. ἐκ τούτου δὴ
οἱ Ἕλληνες ἔθεον ἐπὶ τὰ ὅπλα πάντες ἐκπεπληγμένοι
καὶ νομίζοντες αὐτίκα ἥξειν αὐτοὺς ἐπὶ τὸ στρα-
35 τόπεδον. οἱ δὲ πάντες μὲν οὐκ ἦλθον, Ἀριαῖος δὲ
καὶ Ἀρτάοζος καὶ Μιθραδάτης, οἳ ἦσαν Κύρῳ πιστό-
τατοι· ὁ δὲ τῶν Ἑλλήνων ἑρμηνεὺς ἔφη καὶ τὸν
Τισσαφέρνους ἀδελφὸν σὺν αὐτοῖς ὁρᾶν καὶ γιγνώ-
σκειν· συνηκολούθουν δὲ καὶ ἄλλοι Περσῶν τεθω-
36 ρακισμένοι εἰς τριακοσίους. οὗτοι ἐπεὶ ἐγγὺς ἦσαν,
προελθεῖν ἐκέλευον εἴ τις εἴη τῶν Ἑλλήνων στρα-
τηγὸς ἢ λοχαγός, ἵνα ἀπαγγείλωσι τὰ παρὰ βασιλέως.
37 μετὰ ταῦτα ἐξῆλθον φυλαττόμενοι τῶν Ἑλλήνων
στρατηγοὶ μὲν Κλεάνωρ Ὀρχομένιος καὶ Σοφαίνετος
Στυμφάλιος, σὺν αὐτοῖς δὲ Ξενοφῶν Ἀθηναῖος, ὅπως



μάθοι τὰ περὶ Προξένου· Χειρίσοφος δὲ ἐτύγχανεν
ἀπὼν ἐν κώμῃ τινὶ σὺν ἄλλοις ἐπισιτιζόμενος. ἐπειδὴ 38
δὲ ἔστησαν εἰς ἐπήκοον, εἶπεν Ἀριαῖος τάδε. Κλέ-
αρχος μέν, ὦ ἄνδρες Ἕλληνες, ἐπεὶ ἐπιορκῶν τε
ἐφάνη καὶ τὰς σπονδὰς λύων, ἔχει τὴν δίκην καὶ
τέθνηκε, Πρόξενος δὲ καὶ Μένων, ὅτι κατήγγειλαν
αὐτοῦ τὴν ἐπιβουλήν, ἐν μεγάλῃ τιμῇ εἰσιν. ὑμᾶς
δὲ βασιλεὺς τὰ ὅπλα ἀπαιτεῖ· ἑαυτοῦ γὰρ εἶναί φησιν,
ἐπείπερ Κύρου ἦσαν τοῦ ἐκείνου δούλου. πρὸς ταῦτα 39
ἀπεκρίναντο οἱ Ἕλληνες, ἔλεγε δὲ Κλεάνωρ ὁ Ὀρ-
χομένιος· Ὦ κάκιστε ἀνθρώπων Ἀριαῖε καὶ οἱ ἄλλοι
ὅσοι ἦτε Κύρου φίλοι, οὐκ αἰσχύνεσθε οὔτε θεοὺς
οὔτ' ἀνθρώπους, οἵτινες ὀμόσαντες ἡμῖν τοὺς αὐτοὺς
φίλους καὶ ἐχθροὺς νομιεῖν, προδόντες ἡμᾶς σὺν
Τισσαφέρνει τῷ ἀθεωτάτῳ τε καὶ πανουργοτάτῳ τούς
τε ἄνδρας αὐτοὺς οἷς ὤμνυτε ἀπολωλέκατε καὶ τοὺς
ἄλλους ἡμᾶς προδεδωκότες σὺν τοῖς πολεμίοις ἐφ'
ἡμᾶς ἔρχεσθε; ὁ δὲ Ἀριαῖος εἶπε· Κλέαρχος γὰρ 40
πρόσθεν ἐπιβουλεύων φανερὸς ἐγένετο Τισσαφέρνει
τε καὶ Ὀρόντᾳ, καὶ πᾶσιν ἡμῖν τοῖς σὺν τούτοις.
ἐπὶ τούτοις Ξενοφῶν τάδε εἶπε. Κλέαρχος μὲν τοίνυν 41
εἰ παρὰ τοὺς ὅρκους ἔλυε τὰς σπονδάς, τὴν δίκην
ἔχει· δίκαιον γὰρ ἀπόλλυσθαι τοὺς ἐπιορκοῦντας·
Πρόξενος δὲ καὶ Μένων ἐπείπερ εἰσὶν ὑμέτεροι μὲν
εὐεργέται, ἡμέτεροι δὲ στρατηγοί, πέμψατε αὐτοὺς
δεῦρο· δῆλον γὰρ ὅτι φίλοι γε ὄντες ἀμφοτέροις
πειράσονται καὶ ὑμῖν καὶ ἡμῖν τὰ βέλτιστα συμβου-
λεῦσαι. πρὸς ταῦτα οἱ βάρβαροι πολὺν χρόνον δια- 42
λεχθέντες ἀλλήλοις ἀπῆλθον οὐδὲν ἀποκρινάμενοι.

VI. Οἱ μὲν δὴ στρατηγοὶ οὕτω ληφθέντες ἀνήχθη-
σαν ὡς βασιλέα καὶ ἀποτμηθέντες τὰς κεφαλὰς ἐτε-
λεύτησαν, εἷς μὲν αὐτῶν Κλέαρχος ὁμολογουμένως
ἐκ πάντων τῶν ἐμπείρως αὐτοῦ ἐχόντων δόξας γενέ-
σθαι ἀνὴρ καὶ πολεμικὸς καὶ φιλοπόλεμος ἐσχάτως.
2 καὶ γὰρ δὴ ἕως μὲν πόλεμος ἦν τοῖς Λακεδαιμονίοις
πρὸς τοὺς Ἀθηναίους παρέμενεν, ἐπειδὴ δὲ εἰρήνη
ἐγένετο, ἀναπείσας τὴν αὑτοῦ πόλιν ὡς οἱ Θρᾷκες
ἀδικοῦσι τοὺς Ἕλληνας καὶ διαπραξάμενος ὡς ἐδύ-
νατο παρὰ τῶν ἐφόρων ἐξέπλει ὡς πολεμήσων τοῖς
3 ὑπὲρ Χερρονήσου καὶ Περίνθου Θρᾳξίν. ἐπεὶ δὲ
μεταγνόντες πως οἱ ἔφοροι ἤδη ἔξω ὄντος ἀποστρέ-
φειν αὐτὸν ἐπειρῶντο ἐξ Ἰσθμοῦ, ἐνταῦθα οὐκέτι
πείθεται, ἀλλ' ᾤχετο ἀποπλέων εἰς Ἑλλήσποντον.
4 ἐκ τούτου καὶ ἐθανατώθη ὑπὸ τῶν ἐν Σπάρτῃ
τελῶν ὡς ἀπειθῶν. ἤδη δὲ φυγὰς ὢν ἔρχεται πρὸς
Κῦρον, καὶ ὁποίοις μὲν λόγοις ἔπεισε Κῦρον ἄλλῃ
γέγραπται, δίδωσι δὲ αὐτῷ Κῦρος μυρίους δαρει-
5 κούς· ὁ δὲ λαβὼν οὐκ ἐπὶ ῥᾳθυμίαν ἐτράπετο, ἀλλ'
ἀπὸ τούτων τῶν χρημάτων συλλέξας στράτευμα ἐπο-
λέμει τοῖς Θρᾳξί, καὶ μάχῃ τε ἐνίκησε καὶ ἀπὸ
τούτου δὴ ἔφερε καὶ ἦγε τούτους καὶ πολεμῶν δι-
εγένετο μέχρι Κῦρος ἐδεήθη τοῦ στρατεύματος· τότε
6 δὲ ἀπῆλθεν ὡς σὺν ἐκείνῳ αὖ πολεμήσων. ταῦτα
οὖν φιλοπολέμου μοι δοκεῖ ἀνδρὸς ἔργα εἶναι, ὅστις
ἐξὸν μὲν εἰρήνην ἔχειν ἄνευ αἰσχύνης καὶ βλάβης
αἱρεῖται πολεμεῖν, ἐξὸν δὲ ῥᾳθυμεῖν βούλεται πονεῖν
ὥστε πολεμεῖν, ἐξὸν δὲ χρήματα ἔχειν ἀκινδύνως
αἱρεῖται πολεμῶν μείονα ταῦτα ποιεῖν· ἐκεῖνος δὲ
ὥσπερ εἰς παιδικὰ ἢ εἰς ἄλλην τινὰ ἡδονὴν ἤθελε



δαπανᾶν εἰς πόλεμον. οὕτω μὲν φιλοπόλεμος ἦν· 7
πολεμικὸς δὲ αὖ ταύτῃ ἐδόκει εἶναι ὅτι φιλοκίνδυνός
τε ἦν καὶ ἡμέρας καὶ νυκτὸς ἄγων ἐπὶ τοὺς πολε-
μίους καὶ ἐν τοῖς δεινοῖς φρόνιμος, ὡς οἱ παρόντες
πανταχοῦ πάντες ὡμολόγουν. καὶ ἀρχικὸς δ' ἐλέ- 8
γετο εἶναι ὡς δυνατὸν ἐκ τοῦ τοιούτου τρόπου οἷον
κἀκεῖνος εἶχεν. ἱκανὸς μὲν γὰρ ὥς τις καὶ ἄλλος
φροντίζειν ἦν ὅπως ἔχοι ἡ στρατιὰ αὐτῷ τὰ ἐπι-
τήδεια καὶ παρασκευάζειν ταῦτα, ἱκανὸς δὲ καὶ ἐμ-
ποιῆσαι τοῖς παροῦσιν ὡς πειστέον εἴη Κλεάρχῳ.
τοῦτο δ' ἐποίει ἐκ τοῦ χαλεπὸς εἶναι· καὶ γὰρ ὁρᾶν 9
στυγνὸς ἦν καὶ τῇ φωνῇ τραχύς, ἐκόλαζέ τε ἰσχυ-
ρῶς, καὶ ὀργῇ ἐνίοτε, ὡς καὶ αὐτῷ μεταμέλειν ἔσθ'
ὅτε. καὶ γνώμῃ δ' ἐκόλαζεν· ἀκολάστου γὰρ στρα- 10
τεύματος οὐδὲν ἡγεῖτο ὄφελος εἶναι, ἀλλὰ καὶ λέγειν
αὐτὸν ἔφασαν ὡς δέοι τὸν στρατιώτην φοβεῖσθαι
μᾶλλον τὸν ἄρχοντα ἢ τοὺς πολεμίους, εἰ μέλλοι ἢ
φυλακὰς φυλάξειν ἢ φίλων ἀφέξεσθαι ἢ ἀπροφα-
σίστως ἰέναι πρὸς τοὺς πολεμίους. ἐν μὲν οὖν τοῖς 11
δεινοῖς ἤθελον αὐτοῦ ἀκούειν σφόδρα καὶ οὐκ ἄλλον
ᾑροῦντο οἱ στρατιῶται· καὶ γὰρ τὸ στυγνὸν τότε
φαιδρὸν αὐτοῦ ἐν τοῖς ἄλλοις προσώποις ἔφασαν
φαίνεσθαι καὶ τὸ χαλεπὸν ἐρρωμένον πρὸς τοὺς
πολεμίους ἐδόκει εἶναι, ὥστε σωτήριον, οὐκέτι χαλε-
πὸν ἐφαίνετο· ὅτε δ' ἔξω τοῦ δεινοῦ γένοιντο καὶ 12
ἐξείη πρὸς ἄλλον ἀρξομένους ἀπιέναι, πολλοὶ αὐτὸν
ἀπέλειπον· τὸ γὰρ ἐπίχαρι οὐκ εἶχεν, ἀλλ' ἀεὶ χαλε-
πὸς ἦν καὶ ὠμός· ὥστε διέκειντο πρὸς αὐτὸν οἱ
στρατιῶται ὥσπερ παῖδες πρὸς διδάσκαλον. καὶ γὰρ 13
οὖν φιλίᾳ μὲν καὶ εὐνοίᾳ ἑπομένους οὐδέποτε εἶχεν·

οἵτινες δὲ ἢ ὑπὸ πόλεως τεταγμένοι ἢ ὑπὸ τοῦ δεῖσθαι ἢ ἄλλῃ τινὶ ἀνάγκῃ κατεχόμενοι παρείησαν
14 αὐτῷ, σφόδρα πειθομένοις ἐχρῆτο. ἐπεὶ δὲ ἄρξαιντο νικᾶν σὺν αὐτῷ τοὺς πολεμίους, ἤδη μεγάλα ἦν τὰ χρησίμους ποιοῦντα εἶναι τοὺς σὺν αὐτῷ στρατιώτας· τό τε γὰρ πρὸς τοὺς πολεμίους θαρραλέως ἔχειν παρῆν καὶ τὸ τὴν παρ' ἐκείνου τιμωρίαν φο-
15 βεῖσθαι εὐτάκτους ἐποίει. τοιοῦτος μὲν δὴ ἄρχων ἦν· ἄρχεσθαι δὲ ὑπὸ ἄλλων οὐ μάλα ἐθέλειν ἐλέγετο. ἦν δὲ ὅτε ἐτελεύτα ἀμφὶ τὰ πεντήκοντα ἔτη.

---

## Γ.

I. Ἐπεὶ δὲ οἱ στρατηγοὶ συνειλημμένοι ἦσαν καὶ
2 τῶν λοχαγῶν καὶ τῶν στρατιωτῶν οἱ συνεπισπόμενοι ἀπωλώλεσαν, ἐν πολλῇ δὴ ἀπορίᾳ ἦσαν οἱ Ἕλληνες, ἐννοούμενοι μὲν ὅτι ἐπὶ ταῖς βασιλέως θύραις ἦσαν, κύκλῳ δὲ αὐτοῖς πάντῃ πολλὰ καὶ ἔθνη καὶ πόλεις πολέμιαι ἦσαν, ἀγορὰν δὲ οὐδεὶς ἔτι παρέξειν ἔμελλεν, ἀπεῖχον δὲ τῆς Ἑλλάδος οὐ μεῖον ἢ μύρια στάδια, ἡγεμὼν δ' οὐδεὶς τῆς ὁδοῦ ἦν, ποταμοὶ δὲ διεῖργον ἀδιάβατοι ἐν μέσῳ τῆς οἴκαδε ὁδοῦ, προυδεδώκεσαν δὲ αὐτοὺς καὶ οἱ σὺν Κύρῳ ἀναβάντες βάρβαροι, μόνοι δὲ καταλελειμμένοι ἦσαν οὐδὲ ἱππέα οὐδένα σύμμαχον ἔχοντες, ὥστε εὔδηλον ἦν ὅτι νικῶντες μὲν οὐδένα ἂν κατακάνοιεν, ἡττηθέντων δὲ
3 αὐτῶν οὐδεὶς ἂν λειφθείη· ταῦτ' ἐννοούμενοι καὶ ἀθύμως ἔχοντες ὀλίγοι μὲν αὐτῶν εἰς τὴν ἑσπέραν σίτου ἐγεύσαντο, ὀλίγοι δὲ πῦρ ἀνέκαυσαν, ἐπὶ δὲ



τὰ ὅπλα πολλοὶ οὐκ ἦλθον ταύτην τὴν νύκτα, ἀνεπαύοντο δὲ ὅπου ἐτύγχανεν ἕκαστος, οὐ δυνάμενοι καθεύδειν ὑπὸ λύπης καὶ πόθου πατρίδων, γονέων, γυναικῶν, παίδων, οὓς οὔποτ' ἐνόμιζον ἔτι ὄψεσθαι. οὕτω μὲν δὴ διακείμενοι πάντες ἀνεπαύοντο.

Ἦν δέ τις ἐν τῇ στρατιᾷ Ξενοφῶν Ἀθηναῖος, 4
ὃς οὔτε στρατηγὸς οὔτε λοχαγὸς οὔτε στρατιώτης ὢν συνηκολούθει, ἀλλὰ Πρόξενος αὐτὸν μετεπέμψατο οἴκοθεν ξένος ὢν ἀρχαῖος· ὑπισχνεῖτο δὲ αὐτῷ, εἰ ἔλθοι, φίλον αὐτὸν Κύρῳ ποιήσειν, ὃν αὐτὸς ἔφη
κρείττω ἑαυτῷ νομίζειν τῆς πατρίδος. ὁ μέντοι 5
Ξενοφῶν ἀναγνοὺς τὴν ἐπιστολὴν ἀνακοινοῦται Σωκράτει τῷ Ἀθηναίῳ περὶ τῆς πορείας. καὶ ὁ Σωκράτης ὑποπτεύσας μή τι πρὸς τῆς πόλεως ὑπαίτιον εἴη Κύρῳ φίλον γενέσθαι, ὅτι ἐδόκει ὁ Κῦρος προθύμως τοῖς Λακεδαιμονίοις ἐπὶ τὰς Ἀθήνας συμπολεμῆσαι, συμβουλεύει τῷ Ξενοφῶντι ἐλθόντα εἰς Δελφοὺς ἀνακοινῶσαι τῷ θεῷ περὶ τῆς πορείας.
ἐλθὼν δ' ὁ Ξενοφῶν ἐπήρετο τὸν Ἀπόλλω τίνι ἂν 6
θεῶν θύων καὶ εὐχόμενος κάλλιστα καὶ ἄριστα ἔλθοι τὴν ὁδὸν ἣν ἐπινοεῖ καὶ καλῶς πράξας σωθείη. καὶ ἀνεῖλεν αὐτῷ ὁ Ἀπόλλων θεοῖς οἷς ἔδει
θύειν. ἐπεὶ δὲ πάλιν ἦλθε, λέγει τὴν μαντείαν τῷ 7
Σωκράτει. ὁ δ' ἀκούσας ᾐτιᾶτο αὐτὸν ὅτι οὐ τοῦτο πρῶτον ἠρώτα πότερον λῷον εἴη αὐτῷ πορεύεσθαι ἢ μένειν, ἀλλ' αὐτὸς κρίνας ἰτέον εἶναι τοῦτ' ἐπυνθάνετο ὅπως ἂν κάλλιστα πορευθείη. ἐπεὶ μέντοι οὕτως ἤρου, ταῦτ', ἔφη, χρὴ ποιεῖν ὅσα ὁ θεὸς
ἐκέλευσεν. ὁ μὲν δὴ Ξενοφῶν οὕτω θυσάμενος οἷς ἀνεῖλεν ὁ θεὸς ἐξέπλει, καὶ καταλαμβάνει ἐν Σάρδεσι 8

Πρόξενον καὶ Κῦρον μέλλοντας ἤδη ὁρμᾶν τὴν ἄνω
9 ὁδόν, καὶ συνεστάθη Κύρῳ. προθυμουμένου δὲ τοῦ
Προξένου καὶ ὁ Κῦρος συμπρουθυμεῖτο μεῖναι αὐ-
τόν, εἶπε δὲ ὅτι ἐπειδὰν τάχιστα ἡ στρατεία λήξῃ,
εὐθὺς ἀποπέμψει αὐτόν. ἐλέγετο δὲ ὁ στόλος εἶναι
10 εἰς Πισίδας. ἐστρατεύετο μὲν δὴ οὕτως ἐξαπατηθείς,
οὐχ ὑπὸ Προξένου· οὐ γὰρ ᾔδει τὴν ἐπὶ βασιλέα
ὁρμήν, οὐδὲ ἄλλος οὐδεὶς τῶν Ἑλλήνων πλὴν Κλε-
άρχου· ἐπεὶ μέντοι εἰς Κιλικίαν ἦλθον, σαφὲς πᾶσιν
ἤδη ἐδόκει εἶναι ὅτι ὁ στόλος εἴη ἐπὶ βασιλέα. φο-
βούμενοι δὲ τὴν ὁδὸν καὶ ἄκοντες ὅμως οἱ πολλοὶ
δι' αἰσχύνην καὶ ἀλλήλων καὶ Κύρου συνηκολού-
11 θησαν· ὧν εἷς καὶ Ξενοφῶν ἦν. ἐπεὶ δὲ ἀπορία
ἦν, ἐλυπεῖτο μὲν σὺν τοῖς ἄλλοις καὶ οὐκ ἐδύνατο
καθεύδειν· μικρὸν δ' ὕπνου λαχὼν εἶδεν ὄναρ.
ἔδοξεν αὐτῷ βροντῆς γενομένης σκηπτὸς πεσεῖν εἰς
τὴν πατρῴαν οἰκίαν καὶ ἐκ τούτου λάμπεσθαι πᾶσα.
12 περίφοβος δ' εὐθὺς ἀνηγέρθη, καὶ τὸ ὄναρ τῇ μὲν
ἔκρινεν ἀγαθόν, ὅτι ἐν πόνοις ὢν καὶ κινδύνοις φῶς
μέγα ἐκ Διὸς ἰδεῖν ἔδοξε· τῇ δὲ καὶ ἐφοβεῖτο, ὅτι
ἀπὸ Διὸς μὲν βασιλέως τὸ ὄναρ ἐδόκει αὐτῷ εἶναι,
κύκλῳ δὲ ἐδόκει λάμπεσθαι τὸ πῦρ, μὴ οὐ δύναιτο
ἐκ τῆς χώρας ἐξελθεῖν τῆς βασιλέως, ἀλλ' εἴργοιτο
13 πάντοθεν ὑπό τινων ἀποριῶν. ὁποῖόν τι μέντοι ἐστὶ
τὸ τοιοῦτον, ἔξεστι σκοπεῖν ἐκ τῶν συμβάντων μετὰ
τὸ ὄναρ. γίγνεται γὰρ τάδε. εὐθὺς ἐπειδὴ ἀνηγέρθη
πρῶτον μὲν ἔννοια αὐτῷ ἐμπίπτει· τί κατάκειμαι;
ἡ δὲ νὺξ προβαίνει· ἅμα δὲ τῇ ἡμέρᾳ εἰκὸς τοὺς
πολεμίους ἥξειν. εἰ δὲ γενησόμεθα ἐπὶ βασιλεῖ, τί
ἐμποδὼν μὴ οὐχὶ πάντα μὲν τὰ χαλεπώτατα ἐπ-



ιδόντας, πάντα δὲ τὰ δεινότατα παθόντας ὑβριζο-
μένους ἀποθανεῖν; ὅπως δ' ἀμυνούμεθα οὐδεὶς 14
παρασκευάζεται οὐδὲ ἐπιμελεῖται, ἀλλὰ κατακείμεθα
ὥσπερ ἐξὸν ἡσυχίαν ἄγειν. ἐγὼ οὖν τὸν ἐκ ποίας
πόλεως στρατηγὸν προσδοκῶ ταῦτα πράξειν; ποίαν
δ' ἡλικίαν ἐμαυτῷ ἐλθεῖν ἀναμένω; οὐ γὰρ ἔγωγ'
ἔτι πρεσβύτερος ἔσομαι, ἐὰν τήμερον προδῶ ἐμαυτὸν
τοῖς πολεμίοις. ἐκ τούτου ἀνίσταται καὶ συγκαλεῖ 15
τοὺς Προξένου πρῶτον λοχαγούς. ἐπεὶ δὲ συνῆλθον,
ἔλεξεν· Ἐγώ, ὦ ἄνδρες λοχαγοί, οὔτε καθεύδειν
δύναμαι, ὥσπερ οἶμαι οὐδ' ὑμεῖς, οὔτε κατακεῖσθαι
ἔτι, ὁρῶν ἐν οἵοις ἐσμέν. οἱ μὲν γὰρ πολέμιοι δῆλον 16
ὅτι οὐ πρότερον πρὸς ἡμᾶς τὸν πόλεμον ἐξέφηναν
πρὶν ἐνόμισαν καλῶς τὰ ἑαυτῶν παρεσκευάσθαι,
ἡμῶν δ' οὐδεὶς οὐδὲν ἀντεπιμελεῖται ὅπως ὡς κάλ-
λιστα ἀγωνιούμεθα. καὶ μὴν εἰ ὑφησόμεθα καὶ ἐπὶ 17
βασιλεῖ γενησόμεθα, τί οἰόμεθα πείσεσθαι; ὃς καὶ
τοῦ ὁμομητρίου ἀδελφοῦ καὶ τεθνηκότος ἤδη ἀπο-
τεμὼν τὴν κεφαλὴν καὶ τὴν χεῖρα ἀνεσταύρωσεν·
ἡμᾶς δέ, οἷς κηδεμὼν μὲν οὐδεὶς πάρεστιν, ἐστρα-
τεύσαμεν δὲ ἐπ' αὐτὸν ὡς δοῦλον ἀντὶ βασιλέως
ποιήσοντες καὶ ἀποκτενοῦντες εἰ δυναίμεθα, τί ἂν
οἰόμεθα παθεῖν; ἆρ' οὐκ ἂν ἐπὶ πᾶν ἔλθοι ὡς ἡμᾶς 18
τὰ ἔσχατα αἰκισάμενος πᾶσιν ἀνθρώποις φόβον παρά-
σχοι τοῦ στρατεῦσαί ποτε ἐπ' αὐτόν; ἀλλ' ὅπως τοι
μὴ ἐπ' ἐκείνῳ γενησόμεθα πάντα ποιητέον. ἐγὼ 19
μὲν οὖν, ἔστε μὲν αἱ σπονδαὶ ἦσαν, οὔποτε ἐπαυό-
μην ἡμᾶς μὲν οἰκτείρων, βασιλέα δὲ καὶ τοὺς σὺν
αὐτῷ μακαρίζων, διαθεώμενος αὐτῶν ὅσην μὲν
χώραν καὶ οἵαν ἔχοιεν, ὡς δὲ ἄφθονα τὰ ἐπιτήδεια,

ὅσους δὲ θεράποντας, ὅσα δὲ κτήνη, χρυσὸν δέ,
20 ἐσθῆτα δέ· τὰ δ' αὖ τῶν στρατιωτῶν ὁπότε ἐνθυ-
μοίμην, ὅτι τῶν μὲν ἀγαθῶν τούτων οὐδενὸς ἡμῖν
μετείη, εἰ μὴ πριαίμεθα (ὅτου δ' ὠνησόμεθα ᾔδειν
ἔτι ὀλίγους ἔχοντας, ἄλλως δέ πως πορίζεσθαι τὰ
ἐπιτήδεια ἢ ὠνουμένους ὅρκους ἤδη κατέχοντας
ἡμᾶς), ταῦτ' οὖν λογιζόμενος ἐνίοτε τὰς σπονδὰς
21 μᾶλλον ἐφοβούμην ἢ νῦν τὸν πόλεμον. ἐπεὶ μέντοι
ἐκεῖνοι ἔλυσαν τὰς σπονδάς, λελύσθαι μοι δοκεῖ καὶ
ἡ ἐκείνων ὕβρις καὶ ἡ ἡμετέρα ἀσάφεια. ἐν μέσῳ
γὰρ ἤδη κεῖται ταῦτα τὰ ἀγαθὰ ἆθλα ὁπότεροι ἂν
ἡμῶν ἄνδρες ἀμείνονες ὦσιν, ἀγωνοθέται δ' οἱ
22 θεοί εἰσιν, οἳ σὺν ἡμῖν, ὡς τὸ εἰκός, ἔσονται. οὗτοι
μὲν γὰρ αὐτοὺς ἐπιωρκήκασιν, ἡμεῖς δὲ πολλὰ ὁρῶν-
τες ἀγαθὰ στερρῶς αὐτῶν ἀπειχόμεθα διὰ τοὺς τῶν
θεῶν ὅρκους· ὥστε ἐξεῖναί μοι δοκεῖ ἰέναι ἐπὶ τὸν
23 ἀγῶνα πολὺ σὺν φρονήματι μείζονι ἢ τούτοις. ἔτι
δ' ἔχομεν σώματα ἱκανώτερα τούτων καὶ ψύχη καὶ
θάλπη καὶ πόνους φέρειν· ἔχομεν δὲ καὶ ψυχὰς σὺν
τοῖς θεοῖς ἀμείνονας· οἱ δὲ ἄνδρες καὶ τρωτοὶ καὶ
θνητοὶ μᾶλλον ἡμῶν, ἢν οἱ θεοὶ ὥσπερ τὸ πρόσθεν
24 νίκην ἡμῖν διδῶσιν. ἀλλ' ἴσως γὰρ καὶ ἄλλοι ταὐτὰ
ἐνθυμοῦνται, πρὸς τῶν θεῶν μὴ ἀναμένωμεν ἄλλους
ἐφ' ἡμᾶς ἐλθεῖν παρακαλοῦντας ἐπὶ τὰ κάλλιστα
ἔργα, ἀλλ' ἡμεῖς ἄρξωμεν τοῦ ἐξορμῆσαι καὶ τοὺς
ἄλλους ἐπὶ τὴν ἀρετήν· φάνητε τῶν λοχαγῶν ἄριστοι
25 καὶ τῶν στρατηγῶν ἀξιοστρατηγότεροι. κἀγὼ δέ, εἰ
μὲν ὑμεῖς ἐθέλετε ἐξορμᾶν ἐπὶ ταῦτα, ἕπεσθαι ὑμῖν
βούλομαι, εἰ δ' ὑμεῖς τάττετ' ἐμὲ ἡγεῖσθαι, οὐδὲν



προφασίζομαι τὴν ἡλικίαν, ἀλλὰ καὶ ἀκμάζειν ἡγοῦ-
μαι ἐρύκειν ἀπ' ἐμαυτοῦ τὰ κακά.
Ὁ μὲν ταῦτ' ἔλεξεν, οἱ δὲ ἀκούσαντες ἡγεῖσθαι 26
ἐκέλευον πάντες, πλὴν Ἀπολλωνίδης τις ἦν βοιωτιά-
ζων τῇ φωνῇ· οὗτος δ' εἶπεν ὅτι φλυαροίη ὅστις
λέγοι ἄλλως πως σωτηρίας ἂν τυχεῖν ἢ βασιλέα
πείσαντας, εἰ δύναιντο, καὶ ἅμα ἤρχετο λέγειν τὰς
ἀπορίας. ὁ μέντοι Ξενοφῶν μεταξὺ ὑπολαβὼν ἔλεξεν
ὧδε. Ὦ θαυμασιώτατε ἄνθρωπε, σύγε οὐδὲ ὁρῶν 27
γιγνώσκεις οὐδὲ ἀκούων μέμνησαι. ἐν ταὐτῷ γε
μέντοι ἦσθα τούτοις ὅτε βασιλεύς, ἐπεὶ Κῦρος ἀπ-
έθανε, μέγα φρονήσας ἐπὶ τούτῳ πέμπων ἐκέλευε
παραδιδόναι τὰ ὅπλα. ἐπεὶ δὲ ἡμεῖς οὐ παραδόντες, 28
ἀλλ' ἐξωπλισμένοι ἐλθόντες παρεσκηνήσαμεν αὐτῷ,
τί οὐκ ἐποίησε πρέσβεις πέμπων καὶ σπονδὰς αἰτῶν
καὶ παρέχων τὰ ἐπιτήδεια, ἔστε σπονδῶν ἔτυχεν;
ἐπεὶ δ' αὖ οἱ στρατηγοὶ καὶ λοχαγοί, ὥσπερ δὴ σὺ 29
κελεύεις, εἰς λόγους αὐτοῖς ἄνευ ὅπλων ἦλθον πι-
στεύσαντες ταῖς σπονδαῖς, οὐ νῦν ἐκεῖνοι παιόμενοι,
κεντούμενοι, ὑβριζόμενοι οὐδὲ ἀποθανεῖν οἱ τλήμονες
δύνανται, καὶ μάλ' οἶμαι ἐρῶντες τούτου; ἃ σὺ
πάντα εἰδὼς τοὺς μὲν ἀμύνεσθαι κελεύοντας φλυ-
αρεῖν φῄς, πείθειν δὲ πάλιν κελεύεις ἰόντας; ἐμοί, 30
ὦ ἄνδρες, δοκεῖ τὸν ἄνθρωπον τοῦτον μήτε προσ-
ίεσθαι εἰς ταὐτὸν ἡμῖν αὐτοῖς ἀφελομένους τε τὴν
λοχαγίαν σκεύη ἀναθέντας ὡς τοιούτῳ χρῆσθαι.
οὗτος γὰρ καὶ τὴν πατρίδα καταισχύνει καὶ πᾶσαν
τὴν Ἑλλάδα, ὅτι Ἕλλην ὢν τοιοῦτός ἐστιν. ἐντεῦθεν 31
ὑπολαβὼν Ἀγασίας Στυμφάλιος εἶπεν· Ἀλλὰ τούτῳ
γε οὔτε τῆς Βοιωτίας προσήκει οὐδὲν οὔτε τῆς Ἑλ-

λάδος παντάπασιν, ἐπεὶ ἐγὼ αὐτὸν εἶδον ὥσπερ
Λυδὸν ἀμφότερα τὰ ὦτα τετρυπημένον. καὶ εἶχεν
32 οὕτως. τοῦτον μὲν οὖν ἀπήλασαν· οἱ δὲ ἄλλοι παρὰ
τὰς τάξεις ἰόντες, ὅπου μὲν στρατηγὸς σῶς εἴη, τὸν
στρατηγὸν παρεκάλουν, ὁπόθεν δὲ οἴχοιτο, τὸν ὑπο-
στράτηγον, ὅπου δ᾽ αὖ λοχαγὸς σῶς εἴη, τὸν λοχα-
33 γόν. ἐπεὶ δὲ πάντες συνῆλθον, εἰς τὸ πρόσθεν τῶν
ὅπλων ἐκαθέζοντο· καὶ ἐγένοντο οἱ συνελθόντες
στρατηγοὶ καὶ λοχαγοὶ ἀμφὶ τοὺς ἑκατόν. ὅτε δὲ
34 ταῦτα ἦν, σχεδὸν μέσαι ἦσαν νύκτες. ἐνταῦθα Ἱερώ-
νυμος Ἠλεῖος πρεσβύτατος ὢν τῶν Προξένου λοχα-
γῶν ἤρχετο λέγειν ὧδε. Ἡμῖν, ὦ ἄνδρες στρατηγοὶ
καὶ λοχαγοί, ὁρῶσι τὰ παρόντα ἔδοξε καὶ αὐτοὺς
συνελθεῖν καὶ ὑμᾶς παρακαλέσαι, ὅπως βουλευσαί-
μεθα, εἴ τι δυναίμεθα ἀγαθόν. λέξον δ᾽, ἔφη, καὶ
35 σύ, ὦ Ξενοφῶν, ἅπερ καὶ πρὸς ἡμᾶς. ἐκ τούτου
λέγει τάδε Ξενοφῶν. Ἀλλὰ ταῦτα μὲν δὴ πάντες
ἐπιστάμεθα ὅτι βασιλεὺς καὶ Τισσαφέρνης οὓς μὲν
ἐδυνήθησαν συνειλήφασιν ἡμῶν, τοῖς δ᾽ ἄλλοις δῆλον
ὅτι ἐπιβουλεύουσιν, ὡς ἢν δύνωνται ἀπολέσωσιν.
ἡμῖν δέ γε οἶμαι πάντα ποιητέα ὡς μήποτε ἐπὶ τοῖς
βαρβάροις γενώμεθα, ἀλλὰ μᾶλλον ἐκεῖνοι ἐφ᾽ ἡμῖν.
36 εὖ τοίνυν ἐπίστασθε ὅτι ὑμεῖς τοσοῦτοι ὄντες ὅσοι
νῦν συνεληλύθατε μέγιστον ἔχετε καιρόν. οἱ γὰρ
στρατιῶται οὗτοι πάντες πρὸς ὑμᾶς βλέπουσι, κἂν
μὲν ὑμᾶς ὁρῶσιν ἀθυμοῦντας, πάντες κακοὶ ἔσονται,
ἢν δὲ ὑμεῖς αὐτοί τε παρασκευαζόμενοι φανεροὶ ἦτε
ἐπὶ τοὺς πολεμίους καὶ τοὺς ἄλλους παρακαλῆτε, εὖ
ἴστε ὅτι ἕψονται ὑμῖν καὶ πειράσονται μιμεῖσθαι.
37 ἴσως δέ τοι καὶ δίκαιόν ἐστιν ὑμᾶς διαφέρειν τι



τούτων. ὑμεῖς γάρ ἐστε στρατηγοί, ὑμεῖς ταξίαρχοι
καὶ λοχαγοί· καὶ ὅτε εἰρήνη ἦν, ὑμεῖς καὶ χρήμασι
καὶ τιμαῖς τούτων ἐπλεονεκτεῖτε· καὶ νῦν τοίνυν, ἐπεὶ
πόλεμός ἐστιν, ἀξιοῦν δεῖ ὑμᾶς αὐτοὺς ἀμείνους τε
τοῦ πλήθους εἶναι καὶ προβουλεύειν τούτων καὶ
προπονεῖν, ἤν που δέῃ. καὶ νῦν πρῶτον μὲν οἶμαι 38
ἂν ὑμᾶς μέγα ὠφελῆσαι τὸ στράτευμα, εἰ ἐπιμελη-
θείητε ὅπως ἀντὶ τῶν ἀπολωλότων ὡς τάχιστα στρα-
τηγοὶ καὶ λοχαγοὶ ἀντικατασταθῶσιν. ἄνευ γὰρ ἀρ-
χόντων οὐδὲν ἂν οὔτε καλὸν οὔτε ἀγαθὸν γένοιτο
ὡς μὲν συνελόντι εἰπεῖν οὐδαμοῦ, ἐν δὲ δὴ τοῖς
πολεμικοῖς παντάπασιν. ἡ μὲν γὰρ εὐταξία σῴζειν
δοκεῖ, ἡ δὲ ἀταξία πολλοὺς ἤδη ἀπολώλεκεν. ἐπειδὰν 39
δὲ καταστήσησθε τοὺς ἄρχοντας ὅσους δεῖ, ἢν καὶ
τοὺς ἄλλους στρατιώτας συλλέγητε καὶ παραθαρρύ-
νητε, οἶμαι ἂν ὑμᾶς πάνυ ἐν καιρῷ ποιῆσαι. νῦν 40
γὰρ ἴσως καὶ ὑμεῖς αἰσθάνεσθε ὡς ἀθύμως μὲν
ἦλθον ἐπὶ τὰ ὅπλα, ἀθύμως δὲ πρὸς τὰς φυλακάς·
ὥστε οὕτω γ᾽ ἐχόντων οὐκ οἶδα ὅ,τι ἄν τις χρήσαιτο
αὐτοῖς εἴτε νυκτὸς δέοι εἴτε καὶ ἡμέρας. ἢν δέ τις 41
αὐτῶν τρέψῃ τὰς γνώμας, ὡς μὴ τοῦτο μόνον ἐν-
νοῶνται τί πείσονται ἀλλὰ καὶ τί ποιήσουσι, πολὺ
εὐθυμότεροι ἔσονται. ἐπίστασθε γὰρ δὴ ὅτι οὔτε 42
πλῆθός ἐστιν οὔτε ἰσχὺς ἡ ἐν τῷ πολέμῳ τὰς νίκας
ποιοῦσα, ἀλλ᾽ ὁπότεροι ἂν σὺν τοῖς θεοῖς ταῖς ψυ-
χαῖς ἐρρωμενέστεροι ἴωσιν ἐπὶ τοὺς πολεμίους, τού-
τους ὡς ἐπὶ τὸ πολὺ οἱ ἀντίοι οὐ δέχονται. ἐντε- 43
θύμημαι δ᾽ ἔγωγε, ὦ ἄνδρες, καὶ τοῦτο ὅτι ὁπόσοι
μὲν μαστεύουσι ζῆν ἐκ παντὸς τρόπου ἐν τοῖς πολε-
μικοῖς, οὗτοι μὲν κακῶς τε καὶ αἰσχρῶς ὡς ἐπὶ τὸ

πολὺ ἀποθνήσκουσιν, ὁπόσοι δὲ τὸν μὲν θάνατον
ἐγνώκασι πᾶσι κοινὸν εἶναι καὶ ἀναγκαῖον ἀνθρώ-
ποις, περὶ δὲ τοῦ καλῶς ἀποθνήσκειν ἀγωνίζονται,
τούτους δ' ὁρῶ μᾶλλόν πως εἰς τὸ γῆρας ἀφικνου-
μένους καί, ἕως ἂν ζῶσιν, εὐδαιμονέστερον διάγοντας.
44 ἃ καὶ ἡμᾶς δεῖ νῦν καταμαθόντας (ἐν τοιούτῳ γὰρ
καιρῷ ἐσμεν) αὐτούς τε ἄνδρας ἀγαθοὺς εἶναι καὶ
45 τοὺς ἄλλους παρακαλεῖν. ὁ μὲν ταῦτα εἰπὼν ἐπαύσατο.
μετὰ δὲ τοῦτον εἶπε Χειρίσοφος· Ἀλλὰ πρόσθεν μέν,
ὦ Ξενοφῶν, τοσοῦτον μόνον σε ἐγίγνωσκον ὅσον
ἤκουον Ἀθηναῖον εἶναι, νῦν δὲ καὶ ἐπαινῶ σε ἐφ'
οἷς λέγεις τε καὶ πράττεις καὶ βουλοίμην ἂν ὅτι πλεί-
στους εἶναι τοιούτους· κοινὸν γὰρ ἂν εἴη τὸ ἀγαθόν.
46 καὶ νῦν, ἔφη, μὴ μέλλωμεν, ὦ ἄνδρες, ἀλλ' ἀπ-
ελθόντες ἤδη αἱρεῖσθε οἱ δεόμενοι ἄρχοντας, καὶ
ἑλόμενοι ἥκετε εἰς τὸ μέσον τοῦ στρατοπέδου καὶ
τοὺς αἱρεθέντας ἄγετε· ἔπειτ' ἐκεῖ συγκαλοῦμεν τοὺς
ἄλλους στρατιώτας. παρέστω δ' ἡμῖν, ἔφη, καὶ Τολ-
47 μίδης ὁ κῆρυξ. καὶ ἅμα ταῦτ' εἰπὼν ἀνέστη, ὡς
μὴ μέλλοιτο ἀλλὰ περαίνοιτο τὰ δέοντα. ἐκ τούτου
ᾐρέθησαν ἄρχοντες ἀντὶ μὲν Κλεάρχου Τιμασίων
Δαρδανεύς, ἀντὶ δὲ Σωκράτους Ξανθικλῆς Ἀχαιός,
ἀντὶ δὲ Ἀγίου Κλεάνωρ Ἀρκάς, ἀντὶ δὲ Μένωνος
Φιλήσιος Ἀχαιός, ἀντὶ δὲ Προξένου Ξενοφῶν Ἀθη-
ναῖος.



## Δ.

Ἐπεὶ δὲ τὸν Κεντρίτην ποταμὸν διέβησαν, ὃς IV.
ὁρίζει τὴν Ἀρμενίαν καὶ τὴν τῶν Καρδούχων χώραν,
συνταξάμενοι ἀμφὶ μέσον ἡμέρας ἐπορεύθησαν διὰ
τῆς Ἀρμενίας πεδίον ἅπαν καὶ λείους γηλόφους οὐ
μεῖον ἢ πέντε παρασάγγας· οὐ γὰρ ἦσαν ἐγγὺς τοῦ
ποταμοῦ κῶμαι διὰ τοὺς πολέμους τοὺς πρὸς τοὺς
Καρδούχους. εἰς δὲ ἣν ἀφίκοντο κώμην μεγάλη τε 2
ἦν καὶ βασίλειον εἶχε τῷ σατράπῃ καὶ ἐπὶ ταῖς πλεί-
σταις οἰκίαις τύρσεις ἐπῆσαν· ἐπιτήδεια δ' ἦν δα-
ψιλῆ. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς δύο παρα- 3
σάγγας δέκα μέχρι ὑπερῆλθον τὰς πηγὰς τοῦ Τί-
γρητος ποταμοῦ. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς
τρεῖς παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν Τηλεβόαν
ποταμόν. οὗτος δ' ἦν καλὸς μέν, μέγας δ' οὔ·
κῶμαι δὲ πολλαὶ περὶ τὸν ποταμὸν ἦσαν. ὁ δὲ τόπος 4
οὗτος Ἀρμενία ἐκαλεῖτο ἡ πρὸς ἑσπέραν. ὕπαρχος
δ' ἦν αὐτῆς Τιρίβαζος, ὁ καὶ βασιλεῖ φίλος γενόμενος,
καὶ ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον
ἀνέβαλλεν. οὗτος προσήλασεν ἱππέας ἔχων, καὶ προ- 5
πέμψας ἑρμηνέα εἶπεν ὅτι βούλοιτο διαλεχθῆναι τοῖς
ἄρχουσι. τοῖς δὲ στρατηγοῖς ἔδοξεν ἀκοῦσαι· καὶ
προσελθόντες εἰς ἐπήκοον ἠρώτων τί θέλει. ὁ δὲ 6
εἶπεν ὅτι σπείσασθαι βούλοιτο ἐφ' ᾧ μήτε αὐτὸς τοὺς
Ἕλληνας ἀδικεῖν μήτε ἐκείνους κάειν τὰς οἰκίας, λαμ-
βάνειν τε τἀπιτήδεια ὅσων δέοιντο. ἔδοξε ταῦτα τοῖς
στρατηγοῖς, καὶ ἐσπείσαντο ἐπὶ τούτοις.

Ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς τρεῖς διὰ 7
πεδίου παρασάγγας πεντεκαίδεκα· καὶ Τιρίβαζος παρ-

ἠκολούθει ἔχων τὴν ἑαυτοῦ δύναμιν ἀπέχων ὡς δέκα
σταδίους· καὶ ἀφίκοντο εἰς βασίλεια καὶ κώμας πέριξ
8 πολλὰς πολλῶν τῶν ἐπιτηδείων μεστάς. στρατοπεδευο-
μένων δ᾽ αὐτῶν γίγνεται τῆς νυκτὸς χιὼν πολλή·
καὶ ἕωθεν ἔδοξε διασκηνῆσαι τὰς τάξεις καὶ τοὺς
στρατηγοὺς κατὰ τὰς κώμας· οὐ γὰρ ἑώρων πολέ-
μιον οὐδένα καὶ ἀσφαλὲς ἐδόκει εἶναι διὰ τὸ πλῆθος
9 τῆς χιόνος. ἐνταῦθα εἶχον ὅσα ἐστὶν ἀγαθά, ἱερεῖα,
σῖτον, οἴνους παλαιοὺς εὐώδεις, ἀσταφίδας, ὄσπρια
παντοδαπά. τῶν δὲ ἀποσκεδαννυμένων τινὲς ἀπὸ
τοῦ στρατοπέδου ἔλεγον ὅτι κατίδοιεν νύκτωρ πολλὰ
10 πυρὰ φαίνοντα. ἐδόκει δὴ τοῖς στρατηγοῖς οὐκ ἀ-
σφαλὲς εἶναι διασκηνοῦν, ἀλλὰ συναγαγεῖν τὸ στρά-
τευμα πάλιν. ἐντεῦθεν συνῆλθον· καὶ γὰρ ἐδόκει
11 διαιθριάζειν. νυκτερευόντων δ᾽ αὐτῶν ἐνταῦθα ἐπι-
πίπτει χιὼν ἄπλετος, ὥστε ἀποκρύψαι καὶ τὰ ὅπλα
καὶ τοὺς ἀνθρώπους κατακειμένους· καὶ τὰ ὑποζύγια
συνεπόδισεν ἡ χιών· καὶ πολὺς ὄκνος ἦν ἀνίστασθαι·
κατακειμένων γὰρ ἀλεεινὸν ἦν ἡ χιὼν ἐπιπεπτωκυῖα
12 ὅτῳ μὴ παραρρυείη. ἐπεὶ δὲ Ξενοφῶν ἐτόλμησε
γυμνὸς ἀναστὰς σχίζειν ξύλα, τάχ᾽ ἀναστάς τις καὶ
ἄλλος ἐκείνου ἀφελόμενος ἔσχιζεν. ἐκ δὲ τούτου καὶ
13 ἄλλοι ἀναστάντες πῦρ ἔκαον καὶ ἐχρίοντο· πολὺ γὰρ
ἐνταῦθα ηὑρίσκετο χρῖμα, ᾧ ἐχρῶντο ἀντ᾽ ἐλαίου,
σύειον καὶ σησάμινον καὶ ἀμυγδάλινον ἐκ τῶν πικρῶν
καὶ τερμίνθινον. ἐκ δὲ τῶν αὐτῶν τούτων καὶ μύρον
ηὑρίσκετο.

14 Μετὰ ταῦτα ἐδόκει πάλιν διασκηνητέον εἶναι
εἰς στέγας. ἔνθα δὴ οἱ στρατιῶται σὺν πολλῇ κραυγῇ
καὶ ἡδονῇ ᾖσαν ἐπὶ τὰς στέγας καὶ τὰ ἐπιτήδεια·



ὅσοι δὲ ὅτε τὸ πρότερον ἀπῆσαν τὰς οἰκίας ἐνέπρησαν
ὑπὸ ἀτασθαλίας δίκην ἐδίδοσαν κακῶς σκηνοῦντες.
ἐντεῦθεν ἔπεμψαν νυκτὸς Δημοκράτην Τημνίτην ἄν- 15
δρας δόντες ἐπὶ τὰ ὄρη ἔνθα ἔφασαν οἱ ἀποσκε-
δαννύμενοι καθορᾶν τὰ πυρά· οὗτος γὰρ ἐδόκει
καὶ πρότερον πολλὰ ἤδη ἀληθεῦσαι τοιαῦτα, τὰ ὄντα
τε ὡς ὄντα καὶ τὰ μὴ ὄντα ὡς οὐκ ὄντα. πορευθεὶς 16
δὲ τὰ μὲν πυρὰ οὐκ ἔφη ἰδεῖν, ἄνδρα δὲ συλλαβὼν
ἧκεν ἄγων ἔχοντα τόξον Περσικὸν καὶ φαρέτραν καὶ
σάγαριν οἵανπερ καὶ αἱ Ἀμαζόνες ἔχουσιν. ἐρωτώ- 17
μενος δὲ ποδαπὸς εἴη Πέρσης μὲν ἔφη εἶναι, πορεύ-
εσθαι δ᾽ ἀπὸ τοῦ Τιριβάζου στρατοπέδου, ὅπως
ἐπιτήδεια λάβοι. οἱ δὲ ἠρώτων αὐτὸν τὸ στράτευμα
ὁπόσον τε εἴη καὶ ἐπὶ τίνι συνειλεγμένον. ὁ δὲ εἶπεν 18
ὅτι Τιρίβαζος εἴη, ἔχων τήν τε ἑαυτοῦ δύναμιν καὶ
μισθοφόρους Χάλυβας καὶ Ταόχους· παρεσκευάσθαι
δὲ αὐτὸν ἔφη ὡς ἐπὶ τῇ ὑπερβολῇ τοῦ ὄρους ἐν
τοῖς στενοῖς, ᾗπερ μοναχῇ εἴη πορεία, ἐνταῦθα ἐπι-
θησόμενον τοῖς Ἕλλησιν. ἀκούσασι τοῖς στρατηγοῖς 19
ταῦτα ἔδοξε τὸ στράτευμα συναγαγεῖν· καὶ εὐθὺς
φύλακας καταλιπόντες καὶ στρατηγὸν ἐπὶ τοῖς μένουσι
Σοφαίνετον Στυμφάλιον ἐπορεύοντο ἔχοντες ἡγεμόνα
τὸν ἁλόντα ἄνθρωπον. ἐπειδὴ δὲ ὑπερέβαλλον τὰ 20
ὄρη, οἱ πελτασταὶ προϊόντες καὶ κατιδόντες τὸ στρα-
τόπεδον οὐκ ἔμειναν τοὺς ὁπλίτας, ἀλλ᾽ ἀνακραγόντες
ἔθεον ἐπὶ τὸ στρατόπεδον. οἱ δὲ βάρβαροι ἀκούσαντες 21
τὸν θόρυβον οὐχ ὑπέμειναν, ἀλλ᾽ ἔφευγον· ὅμως δὲ
καὶ ἀπέθανόν τινες τῶν βαρβάρων καὶ ἵπποι ἥλωσαν
εἰς εἴκοσι καὶ ἡ σκηνὴ ἡ Τιριβάζου ἑάλω καὶ ἐν
αὐτῇ κλῖναι ἀργυρόποδες καὶ ἐκπώματα καὶ οἱ ἀρτο-

22 κόποι καὶ οἱ οἰνοχόοι φάσκοντες εἶναι. ἐπειδὴ δὲ
ἐπύθοντο ταῦτα οἱ τῶν ὁπλιτῶν στρατηγοί, ἐδόκει
αὐτοῖς ἀπιέναι τὴν ταχίστην ἐπὶ τὸ στρατόπεδον, μή
τις ἐπίθεσις γένοιτο τοῖς καταλελειμμένοις. καὶ εὐθὺς
ἀνακαλεσάμενοι τῇ σάλπιγγι ἀπῆσαν, καὶ ἀφίκοντο
αὐθημερὸν ἐπὶ τὸ στρατόπεδον.

V. Τῇ δ' ὑστεραίᾳ ἐδόκει πορευτέον εἶναι ὅπῃ δύ-
ναιντο τάχιστα πρὶν συλλεγῆναι τὸ στράτευμα πάλιν
καὶ καταλαβεῖν τὰ στενά. συσκευασάμενοι δ' εὐθὺς
ἐπορεύοντο διὰ χιόνος πολλῆς ἡγεμόνας ἔχοντες πολ-
λούς· καὶ αὐθημερὸν ὑπερβαλόντες τὸ ἄκρον ἐφ' ᾧ
ἔμελλεν ἐπιτίθεσθαι Τιρίβαζος κατεστρατοπεδεύσαντο.
2 ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς ἐρήμους τρεῖς
παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν Εὐφράτην ποταμόν,
καὶ διέβαινον αὐτὸν βρεχόμενοι πρὸς τὸν ὀμφαλόν.
3 ἐλέγοντο δ' οὐδ' αἱ πηγαὶ πρόσω εἶναι. ἐντεῦθεν
ἐπορεύοντο διὰ χιόνος πολλῆς καὶ πεδίου σταθμοὺς
τρεῖς παρασάγγας δέκα. ὁ δὲ τρίτος ἐγένετο χαλε-
πὸς καὶ ἄνεμος βορρᾶς ἐναντίος ἔπνει παντάπασιν
4 ἀποκάων πάντα καὶ πηγνὺς τοὺς ἀνθρώπους. ἔνθα
δὴ τῶν μάντεών τις εἶπε σφαγιάσασθαι τῷ ἀνέμῳ,
καὶ σφαγιάζεται· καὶ πᾶσι δὴ περιφανῶς ἔδοξε
λῆξαι τὸ χαλεπὸν τοῦ πνεύματος. ἦν δὲ τῆς χιόνος
τὸ βάθος ὀργυιά· ὥστε καὶ τῶν ὑποζυγίων καὶ τῶν
ἀνδραπόδων πολλὰ ἀπώλετο καὶ τῶν στρατιωτῶν ὡς
5 τριάκοντα. διεγένοντο δὲ τὴν νύκτα πῦρ κάοντες·
ξύλα δ' ἦν ἐν τῷ σταθμῷ πολλά· οἱ δὲ ὀψὲ προσ-
ιόντες ξύλα οὐκ εἶχον. οἱ οὖν πάλαι ἥκοντες καὶ
πῦρ κάοντες οὐ προσίεσαν πρὸς τὸ πῦρ τοὺς ὀψί-
ζοντας, εἰ μὴ μεταδοῖεν αὐτοῖς πυροὺς ἢ ἄλλο εἴ τι



ἔχοιεν βρωτόν. ἔνθα δὴ μετεδίδοσαν ἀλλήλοις ὧν 6
εἶχον ἕκαστοι. ἔνθα δὲ τὸ πῦρ ἐκάετο, διατηκομέ-
νης τῆς χιόνος βόθροι ἐγίγνοντο μεγάλοι ἔστε ἐπὶ τὸ
δάπεδον· οὗ δὴ παρῆν μετρεῖν τὸ βάθος τῆς χιόνος.
ἐντεῦθεν δὲ τὴν ἐπιοῦσαν ἡμέραν ὅλην ἐπορεύοντο 7
διὰ χιόνος, καὶ πολλοὶ τῶν ἀνθρώπων ἐβουλιμίασαν.
Ξενοφῶν δ' ὀπισθοφυλακῶν καὶ καταλαμβάνων τοὺς
πίπτοντας τῶν ἀνθρώπων ἠγνόει ὅ,τι τὸ πάθος εἴη.
ἐπειδὴ δὲ εἶπέ τις αὐτῷ τῶν ἐμπείρων ὅτι σαφῶς 8
βουλιμιῶσι κἂν τι φάγωσιν ἀναστήσονται, περιιὼν
περὶ τὰ ὑποζύγια, εἴ πού τι ὁρῴη βρωτόν, διεδίδου
καὶ διέπεμπε διδόντας τοὺς δυναμένους περιτρέχειν
τοῖς βουλιμιῶσιν. ἐπειδὴ δέ τι ἐμφάγοιεν, ἀνίσταντο 9
καὶ ἐπορεύοντο. πορευομένων δὲ Χειρίσοφος μὲν
ἀμφὶ κνέφας πρὸς κώμην ἀφικνεῖται, καὶ ὑδροφορού-
σας ἐκ τῆς κώμης πρὸς τῇ κρήνῃ γυναῖκας καὶ
κόρας καταλαμβάνει ἔμπροσθεν τοῦ ἐρύματος. αὗται 10
ἠρώτων αὐτοὺς τίνες εἶεν. ὁ δ' ἑρμηνεὺς εἶπε περ-
σιστὶ ὅτι παρὰ βασιλέως πορεύονται πρὸς τὸν σατρά-
πην. αἱ δὲ ἀπεκρίναντο ὅτι οὐκ ἐνταῦθα εἴη, ἀλλ'
ἀπέχει ὅσον παρασάγγην. οἱ δ', ἐπεὶ ὀψὲ ἦν, πρὸς
τὸν κωμάρχην συνεισέρχονται εἰς τὸ ἔρυμα σὺν ταῖς
ὑδροφόροις. Χειρίσοφος μὲν οὖν καὶ ὅσοι ἐδυνή- 11
θησαν τοῦ στρατεύματος ἐνταῦθα ἐστρατοπεδεύσαντο,
τῶν δ' ἄλλων στρατιωτῶν οἱ μὴ δυνάμενοι διατελέσαι
τὴν ὁδὸν ἐνυκτέρευσαν ἄσιτοι καὶ ἄνευ πυρός· καὶ
ἐνταῦθά τινες ἀπώλοντο τῶν στρατιωτῶν· ἐφείποντο 12
δὲ τῶν πολεμίων συνειλεγμένοι τινὲς καὶ τὰ μὴ δυνά-
μενα τῶν ὑποζυγίων ἥρπαζον καὶ ἀλλήλοις ἐμάχοντο
περὶ αὐτῶν. ἐλείποντο δὲ τῶν στρατιωτῶν οἵ τε

διεφθαρμένοι ὑπὸ τῆς χιόνος τοὺς ὀφθαλμοὺς οἵ τε
ὑπὸ τοῦ ψύχους τοὺς δακτύλους τῶν ποδῶν ἀποσε-
13 σηπότες. ἦν δὲ τοῖς μὲν ὀφθαλμοῖς ἐπικούρημα τῆς
χιόνος εἴ τις μέλαν τι ἔχων πρὸ τῶν ὀφθαλμῶν
ἐπορεύετο, τῶν δὲ ποδῶν εἴ τις κινοῖτο καὶ μηδέποτε
14 ἡσυχίαν ἔχοι καὶ εἰς τὴν νύκτα ὑπολύοιτο· ὅσοι δὲ
ὑποδεδεμένοι ἐκοιμῶντο, εἰσεδύοντο εἰς τοὺς πόδας
οἱ ἱμάντες καὶ τὰ ὑποδήματα περιεπήγνυντο· καὶ
γὰρ ἦσαν, ἐπειδὴ ἐπέλιπε τὰ ἀρχαῖα ὑποδήματα, καρ-
15 βάτιναι πεποιημέναι ἐκ τῶν νεοδάρτων βοῶν. διὰ
τὰς τοιαύτας οὖν ἀνάγκας ὑπελείποντό τινες τῶν
στρατιωτῶν· καὶ ἰδόντες μέλαν τι χωρίον διὰ τὸ
ἐκλελοιπέναι αὐτόθι τὴν χιόνα ᾔκαζον τετηκέναι·
καὶ ἐτετήκει διὰ κρήνην τινὰ ἣ πλησίον ἦν ἀτμί-
ζουσα ἐν νάπῃ. ἐνταῦθ᾽ ἐκτραπόμενοι ἐκάθηντο
16 καὶ οὐκ ἔφασαν πορεύεσθαι. ὁ δὲ Ξενοφῶν ἔχων
τοὺς ὀπισθοφύλακας ὡς ᾔσθετο, ἐδεῖτο αὐτῶν πάσῃ
τέχνῃ καὶ μηχανῇ μὴ ἀπολείπεσθαι, λέγων ὅτι ἕπονται
πολλοὶ πολέμιοι συνειλεγμένοι, καὶ τελευτῶν ἐχαλέ-
παινεν. οἱ δὲ σφάττειν ἐκέλευον· οὐ γὰρ ἂν δύνα-
17 σθαι πορευθῆναι. ἐνταῦθα ἔδοξε κράτιστον εἶναι
τοὺς ἑπομένους πολεμίους φοβῆσαι, εἴ τις δύναιτο.
μὴ ἐπίοιεν τοῖς κάμνουσι. καὶ ἦν μὲν σκότος ἤδη,
οἱ δὲ προσῇσαν πολλῷ θορύβῳ ἀμφὶ ὧν εἶχον δια-
18 φερόμενοι. ἔνθα δὴ οἱ ὀπισθοφύλακες ἐξαναστάντες
ἔδραμον εἰς τοὺς πολεμίους· οἱ δὲ κάμνοντες ἀνα-
κραγόντες ὅσον ἐδύναντο μέγιστον τὰς ἀσπίδας πρὸς
τὰ δόρατα ἔκρουσαν. οἱ δὲ πολέμιοι δείσαντες ἧκαν
ἑαυτοὺς κατὰ τῆς χιόνος εἰς τὴν νάπην, καὶ οὐδεὶς
19 ἔτι οὐδαμοῦ ἐφθέγξατο. καὶ Ξενοφῶν μὲν καὶ οἱ



σὺν αὐτῷ εἰπόντες τοῖς ἀσθενοῦσιν ὅτι τῇ ὑστεραίᾳ
ἥξουσί τινες ἐπ᾽ αὐτούς, πορευόμενοι πρὶν τέτταρα
στάδια διελθεῖν ἐντυγχάνουσιν ἐν τῇ ὁδῷ ἀναπαυο-
μένοις ἐπὶ τῆς χιόνος τοῖς στρατιώταις ἐγκεκαλυμ-
μένοις, καὶ οὐδὲ φυλακὴ οὐδεμία καθειστήκει· καὶ
ἀνίστασαν αὐτούς. οἱ δ᾽ ἔλεγον ὅτι οἱ ἔμπροσθεν
οὐχ ὑποχωροῖεν. ὁ δὲ παριὼν καὶ παραπέμπων 20
τῶν πελταστῶν τοὺς ἰσχυροτάτους ἐκέλευε σκέψα-
σθαι τί εἴη τὸ κωλῦον. οἱ δὲ ἀπήγγελλον ὅτι ὅλον
οὕτως ἀναπαύοιτο τὸ στράτευμα. ἐνταῦθα καὶ οἱ 21
περὶ Ξενοφῶντα ηὐλίσθησαν αὐτοῦ ἄνευ πυρὸς καὶ
ἄδειπνοι, φυλακὰς οἵας ἐδύναντο καταστησάμενοι.
ἐπεὶ δὲ πρὸς ἡμέραν ἦν, ὁ μὲν Ξενοφῶν πέμψας
πρὸς τοὺς ἀσθενοῦντας τοὺς νεωτάτους ἀναστήσαντας
ἐκέλευεν ἀναγκάζειν προϊέναι· ἐν δὲ τούτῳ Χειρί- 22
σοφος πέμπει τῶν ἐκ τῆς κώμης σκεψομένους πῶς
ἔχοιεν οἱ τελευταῖοι. οἱ δὲ ἄσμενοι ἰδόντες τοὺς μὲν
ἀσθενοῦντας τούτοις παρέδοσαν κομίζειν ἐπὶ τὸ στρα-
τόπεδον, αὐτοὶ δὲ ἐπορεύοντο, καὶ πρὶν εἴκοσι στάδια
διεληλυθέναι ἦσαν πρὸς τῇ κώμῃ ἔνθα Χειρίσοφος
ηὐλίζετο. ἐπεὶ δὲ συνεγένοντο ἀλλήλοις, ἔδοξε κατὰ 23
τὰς κώμας ἀσφαλὲς εἶναι τὰς τάξεις σκηνοῦν. καὶ
Χειρίσοφος μὲν αὐτοῦ ἔμενεν, οἱ δὲ ἄλλοι διαλα-
χόντες ἃς ἑώρων κώμας ἐπορεύοντο ἕκαστοι τοὺς
ἑαυτῶν ἔχοντες. ἔνθα δὴ Πολυκράτης Ἀθηναῖος 24
λοχαγὸς ἐκέλευσεν ἀφιέναι ἑαυτόν· καὶ λαβὼν τοὺς
εὐζώνους, θέων ἐπὶ τὴν κώμην ἣν εἰλήχει Ξενοφῶν
καταλαμβάνει πάντας ἔνδον τοὺς κωμήτας καὶ τὸν
κωμάρχην, καὶ πώλους εἰς δασμὸν βασιλεῖ τρεφο-
μένους ἑπτακαίδεκα, καὶ τὴν θυγατέρα τοῦ κωμάρχου

ἐνάτην ἡμέραν γεγαμημένην· ὁ δ' ἀνὴρ αὐτῆς λα-
25 γῶς ᾤχετο θηράσων καὶ οὐχ ἥλω ἐν τῇ κώμῃ. αἱ
δ' οἰκίαι ἦσαν κατάγειοι, τὸ μὲν στόμα ὥσπερ φρέα-
τος, κάτω δ' εὐρεῖαι· αἱ δὲ εἴσοδοι τοῖς μὲν ὑπο-
ζυγίοις ὀρυκταί, οἱ δὲ ἄνθρωποι κατέβαινον ἐπὶ κλί-
μακος. ἐν δὲ ταῖς οἰκίαις ἦσαν αἶγες, οἶες, βόες,
ὄρνιθες καὶ τὰ ἔκγονα τούτων· τὰ δὲ κτήνη πάντα
26 χιλῷ ἔνδον ἐτρέφοντο. ἦσαν δὲ καὶ πυροὶ καὶ κριθαὶ
καὶ ὄσπρια καὶ οἶνος κρίθινος ἐν κρατῆρσιν. ἐνῆσαν
δὲ καὶ αὐταὶ αἱ κριθαὶ ἰσοχειλεῖς. καὶ κάλαμοι ἐνέ-
κειντο, οἱ μὲν μείζους οἱ δὲ ἐλάττους, γόνατα οὐκ
27 ἔχοντες· τούτους ἔδει ὁπότε τις διψῴη λαβόντα εἰς
τὸ στόμα μύζειν. καὶ πάνυ ἄκρατος ἦν, εἰ μή τις
ὕδωρ ἐπιχέοι· καὶ πάνυ ἡδὺ συμμαθόντι τὸ πῶμα
28 ἦν. ὁ δὲ Ξενοφῶν τὸν ἄρχοντα τῆς κώμης ταύτης
σύνδειπνον ἐποιήσατο καὶ θαρρεῖν ἐκέλευε λέγων ὅτι
οὔτε τῶν τέκνων στερήσοιτο τήν τε οἰκίαν αὐτοῦ
ἀντεμπλήσαντες τῶν ἐπιτηδείων ἀπίασιν, ἢν ἀγαθόν
τι τῷ στρατεύματι ἐξηγησάμενος φαίνηται ἔστ' ἂν ἐν
29 ἄλλῳ ἔθνει γένωνται. ὁ δὲ ταῦτα ὑπισχνεῖτο, καὶ
φιλοφρονούμενος οἶνον ἔφρασεν ἔνθα ἦν κατορωρυγ-
μένος. ταύτην μὲν οὖν τὴν νύκτα διασκηνήσαντες
οὕτως ἐκοιμήθησαν ἐν πᾶσιν ἀφθόνοις πάντες οἱ
στρατιῶται, ἐν φυλακῇ ἔχοντες τὸν κωμάρχην καὶ
30 τὰ τέκνα αὐτοῦ ὁμοῦ ἐν ὀφθαλμοῖς. τῇ δ' ἐπιούσῃ
ἡμέρᾳ Ξενοφῶν λαβὼν τὸν κωμάρχην πρὸς Χειρί-
σοφον ἐπορεύετο· ὅπου δὲ παρίοι κώμην, ἐτρέπετο
πρὸς τοὺς ἐν ταῖς κώμαις καὶ κατελάμβανε πανταχοῦ
εὐωχουμένους καὶ εὐθυμουμένους, καὶ οὐδαμόθεν
31 ἀφίεσαν πρὶν παραθεῖναι αὐτοῖς ἄριστον· οὐκ ἦν δ'



ὅπου οὐ παρετίθεσαν ἐπὶ τὴν αὐτὴν τράπεζαν κρέα
ἄρνεια, ἐρίφεια, χοίρεια, μόσχεια, ὀρνίθεια, σὺν πολ-
λοῖς ἄρτοις τοῖς μὲν πυρίνοις τοῖς δὲ κριθίνοις.
ὁπότε δέ τις φιλοφρονούμενός τῳ βούλοιτο προπιεῖν, 32
εἷλκεν ἐπὶ τὸν κρατῆρα, ἔνθεν ἐπικύψαντα ἔδει ῥοφοῦν-
τα πίνειν ὥσπερ βοῦν. καὶ τῷ κωμάρχῃ ἐδίδοσαν
λαμβάνειν ὅ,τι βούλοιτο. ὁ δὲ ἄλλο μὲν οὐδὲν ἐδέ-
χετο, ὅπου δέ τινα τῶν συγγενῶν ἴδοι, πρὸς ἑαυτὸν
ἀεὶ ἐλάμβανεν. ἐπεὶ δ' ἦλθον πρὸς Χειρίσοφον, 33
κατελάμβανον κἀκείνους σκηνοῦντας ἐστεφανωμένους
τοῦ ξηροῦ χιλοῦ στεφάνοις, καὶ διακονοῦντας Ἀρμε-
νίους παῖδας σὺν ταῖς βαρβαρικαῖς στολαῖς· τοῖς δὲ
παισὶν ἐδείκνυσαν ὥσπερ ἐνεοῖς ὅ,τι δέοι ποιεῖν. ἐπεὶ 34
δ' ἀλλήλους ἐφιλοφρονήσαντο Χειρίσοφος καὶ Ξενο-
φῶν, κοινῇ δὴ ἀνηρώτων τὸν κωμάρχην διὰ τοῦ
περσίζοντος ἑρμηνέως τίς εἴη ἡ χώρα. ὁ δ' ἔλεγεν
ὅτι Ἀρμενία. καὶ πάλιν ἠρώτων τίνι οἱ ἵπποι τρέ-
φοιντο. ὁ δ' ἔλεγεν ὅτι βασιλεῖ δασμός· τὴν δὲ
πλησίον χώραν ἔφη εἶναι Χάλυβας, καὶ τὴν ὁδὸν
ἔφραζεν ᾗ εἴη. καὶ αὐτὸν τότε μὲν ᾤχετο ἄγων 35
Ξενοφῶν πρὸς τοὺς ἑαυτοῦ οἰκέτας, καὶ ἵππον ὃν
εἰλήφει παλαίτερον δίδωσι τῷ κωμάρχῃ ἀναθρέψαντι
καταθῦσαι, ὅτι ἤκουεν αὐτὸν ἱερέα εἶναι τοῦ Ἡλίου,
δεδιὼς μὴ ἀποθάνῃ· ἐκεκάκωτο γὰρ ὑπὸ τῆς πο-
ρείας· αὐτὸς δὲ τῶν πώλων λαμβάνει, καὶ τῶν
ἄλλων στρατηγῶν ἔδωκεν ἑκάστῳ πῶλον. ἦσαν δ' 36
οἱ ταύτῃ ἵπποι μείονες μὲν τῶν Περσικῶν, θυμοει-
δέστεροι δὲ πολύ. ἐνταῦθα δὴ καὶ διδάσκει ὁ κω-
μάρχης περὶ τοὺς πόδας τῶν ἵππων καὶ τῶν ὑπο-

ζυγίων σακία περιειλεῖν, ὅταν διὰ τῆς χιόνος ἄγωσιν· ἄνευ γὰρ τῶν σακίων κατεδύοντο μέχρι τῆς γαστρός.
VI. Ἐπεὶ δ' ἡμέρα ἦν ὀγδόη, τὸν μὲν ἡγεμόνα παραδίδωσι Χειρισόφῳ, τοὺς δὲ οἰκέτας καταλείπει, πλὴν τοῦ υἱοῦ τοῦ ἄρτι ἡβάσκοντος· τοῦτον δὲ Ἐπισθένει Ἀμφιπολίτῃ παραδίδωσι φυλάττειν, ὅπως, εἰ καλῶς ἡγήσαιτο, ἔχων καὶ τοῦτον ἀπίοι. καὶ εἰς τὴν οἰκίαν αὐτοῦ εἰσεφόρησαν ὡς ἐδύναντο πλεῖστα,
2 καὶ ἀναζεύξαντες ἐπορεύοντο. ἡγεῖτο δ' αὐτοῖς ὁ κωμάρχης λελυμένος διὰ χιόνος· καὶ ἤδη τε ἦν ἐν τῷ τρίτῳ σταθμῷ, καὶ Χειρίσοφος αὐτῷ ἐχαλεπάνθη ὅτι οὐκ εἰς κώμας ἤγαγεν. ὁ δ' ἔλεγεν ὅτι οὐκ εἶεν ἐν τῷ τόπῳ τούτῳ. ὁ δὲ Χειρίσοφος αὐτὸν ἔπαισε
3 μέν, ἔδησε δ' οὔ. ἐκ δὲ τούτου ἐκεῖνος τῆς νυκτὸς ἀποδρὰς ᾤχετο καταλιπὼν τὸν υἱόν. τοῦτό γε δὴ Χειρισόφῳ καὶ Ξενοφῶντι μόνον διάφορον ἐν τῇ πορείᾳ ἐγένετο, ἡ τοῦ ἡγεμόνος κάκωσις καὶ ἀμέλεια. Ἐπισθένης δὲ ἠράσθη τοῦ παιδὸς καὶ οἴκαδε κομίσας
4 πιστοτάτῳ ἐχρῆτο. μετὰ τοῦτο ἐπορεύθησαν ἑπτὰ σταθμοὺς ἀνὰ πέντε παρασάγγας τῆς ἡμέρας παρὰ
5 τὸν Φᾶσιν ποταμόν, εὖρος πλεθριαῖον. ἐντεῦθεν ἐπορεύθησαν σταθμοὺς δύο παρασάγγας δέκα· ἐπὶ δὲ τῇ εἰς τὸ πεδίον ὑπερβολῇ ἀπήντησαν αὐτοῖς
6 Χάλυβες καὶ Τάοχοι καὶ Φασιανοί. Χειρίσοφος δ' ἐπεὶ κατεῖδε τοὺς πολεμίους ἐπὶ τῇ ὑπερβολῇ, ἐπαύσατο πορευόμενος, ἀπέχων εἰς τριάκοντα σταδίους, ἵνα μὴ κατὰ κέρας ἄγων πλησιάσῃ τοῖς πολεμίοις· παρήγγειλε δὲ καὶ τοῖς ἄλλοις παράγειν τοὺς λόχους,
7 ὅπως ἐπὶ φάλαγγος γένοιτο τὸ στράτευμα. ἐπεὶ δὲ ἦλθον οἱ ὀπισθοφύλακες, συνεκάλεσε τοὺς στρατηγοὺς



καὶ λοχαγούς, καὶ ἔλεξεν ὧδε. Οἱ μὲν πολέμιοι, ὡς ὁρᾶτε, κατέχουσι τὰς ὑπερβολὰς τοῦ ὄρους· ὥρα δὲ βουλεύεσθαι ὅπως ὡς κάλλιστα ἀγωνιούμεθα. ἐμοὶ 8
μὲν οὖν δοκεῖ παραγγεῖλαι μὲν ἀριστοποιεῖσθαι τοῖς στρατιώταις, ἡμᾶς δὲ βουλεύεσθαι εἴτε τήμερον εἴτε αὔριον δοκεῖ ὑπερβάλλειν τὸ ὄρος. Ἐμοὶ δέ γε, ἔφη ὁ 9
Κλεάνωρ, δοκεῖ, ἐπὰν τάχιστα ἀριστήσωμεν, ἐξοπλισαμένους ὡς τάχιστα ἰέναι ἐπὶ τοὺς ἄνδρας. εἰ γὰρ διατρίψομεν τὴν τήμερον ἡμέραν, οἵ τε νῦν ἡμᾶς ὁρῶντες πολέμιοι θαρραλεώτεροι ἔσονται καὶ ἄλλους εἰκὸς τούτων θαρρούντων πλείους προσγενέσθαι. μετὰ τοῦτον Ξενοφῶν εἶπεν, Ἐγὼ δ' οὕτω γιγνώσκω. 10
εἰ μὲν ἀνάγκη ἐστὶ μάχεσθαι, τοῦτο δεῖ παρασκευάσασθαι ὅπως ὡς κράτιστα μαχούμεθα· εἰ δὲ βουλόμεθα ὡς ῥᾷστα ὑπερβάλλειν, τοῦτό μοι δοκεῖ σκεπτέον εἶναι ὅπως ὡς ἐλάχιστα μὲν τραύματα λάβωμεν, ὡς ἐλάχιστα δὲ σώματα ἀνδρῶν ἀποβάλωμεν. τὸ μὲν 11
οὖν ὄρος ἐστὶ τὸ ὁρώμενον πλέον ἢ ἐφ' ἑξήκοντα στάδια, ἄνδρες δ' οὐδαμοῦ φυλάττοντες ἡμᾶς φανεροί εἰσιν ἀλλ' ἢ κατ' αὐτὴν τὴν ὁδόν· πολὺ οὖν κρεῖττον τοῦ ἐρήμου ὄρους καὶ κλέψαι τι πειρᾶσθαι λαθόντας καὶ ἁρπάσαι φθάσαντας, εἰ δυναίμεθα, μᾶλλον ἢ πρὸς ἰσχυρὰ χωρία καὶ ἀνθρώπους παρεσκευασμένους μάχεσθαι. πολὺ γὰρ ῥᾷον ὄρθιον ἀμαχεὶ 12
ἰέναι ἢ ὁμαλὲς ἔνθεν καὶ ἔνθεν πολεμίων ὄντων, καὶ νύκτωρ ἀμαχεὶ μᾶλλον ἂν τὰ πρὸ ποδῶν ὁρῴη τις ἢ μεθ' ἡμέραν μαχόμενος, καὶ ἡ τραχεῖα τοῖς ποσὶν ἀμαχεὶ ἰοῦσιν εὐμενεστέρα ἢ ἡ ὁμαλὴ τὰς κεφαλὰς βαλλομένοις. καὶ κλέψαι δ' οὐκ ἀδύνατόν 13
μοι δοκεῖ εἶναι, ἐξὸν μὲν νυκτὸς ἰέναι, ὡς μὴ ὁρᾶ-

σθαι, ἐξὸν δ' ἀπελθεῖν τοσοῦτον ὡς μὴ αἴσθησιν
παρέχειν. δοκοῦμεν δ' ἄν μοι ταύτῃ προσποιούμενοι
προσβαλεῖν ἐρημοτέρῳ ἂν τῷ ὄρει χρῆσθαι· μένοιεν
14 γὰρ ἂν αὐτοῦ μᾶλλον ἁθρόοι οἱ πολέμιοι. ἀτὰρ τί
ἐγὼ περὶ κλοπῆς συμβάλλομαι; ὑμᾶς γὰρ ἔγωγε,
ὦ Χειρίσοφε, ἀκούω τοὺς Λακεδαιμονίους ὅσοι ἐστὲ
τῶν ὁμοίων εὐθὺς ἐκ παίδων κλέπτειν μελετᾶν, καὶ
οὐκ αἰσχρὸν εἶναι ἀλλὰ καλὸν κλέπτειν ὅσα μὴ κω-
15 λύει νόμος. ὅπως δὲ ὡς κράτιστα κλέπτητε καὶ
πειρᾶσθε λανθάνειν, νόμιμον παρ' ὑμῖν ἐστιν, ἐὰν
ληφθῆτε κλέπτοντες, μαστιγοῦσθαι. νῦν οὖν μάλα
σοι καιρός ἐστιν ἐπιδείξασθαι τὴν παιδείαν, καὶ φυ-
λάξασθαι μὴ ληφθῶμεν κλέπτοντες τοῦ ὄρους, ὡς
16 μὴ πληγὰς λάβωμεν. Ἀλλὰ μέντοι, ἔφη ὁ Χειρί-
σοφος, κἀγὼ ὑμᾶς τοὺς Ἀθηναίους ἀκούω δεινοὺς
εἶναι κλέπτειν τὰ δημόσια, καὶ μάλα ὄντος δεινοῦ
τοῦ κινδύνου τῷ κλέπτοντι, καὶ τοὺς κρατίστους
μέντοι μάλιστα, εἴπερ ὑμῖν οἱ κράτιστοι ἄρχειν ἀξι-
οῦνται· ὥστε ὥρα καὶ σοὶ ἐπιδείκνυσθαι τὴν παιδείαν.
17 Ἐγὼ μὲν τοίνυν, ἔφη ὁ Ξενοφῶν, ἕτοιμός εἰμι τοὺς
ὀπισθοφύλακας ἔχων, ἐπειδὰν δειπνήσωμεν, ἰέναι
καταληψόμενος τὸ ὄρος. ἔχω δὲ καὶ ἡγεμόνας· οἱ
γὰρ γυμνῆτες τῶν ἑπομένων ἡμῖν κλωπῶν ἔλαβόν
τινας ἐνεδρεύσαντες· τούτων καὶ πυνθάνομαι ὅτι οὐκ
ἄβατόν ἐστι τὸ ὄρος, ἀλλὰ νέμεται αἰξὶ καὶ βουσίν·
ὥστε ἐάνπερ ἅπαξ λάβωμέν τι τοῦ ὄρους, βατὰ καὶ
18 τοῖς ὑποζυγίοις ἔσται. ἐλπίζω δὲ οὐδὲ τοὺς πολεμίους
μενεῖν ἔτι, ἐπειδὰν ἴδωσιν ἡμᾶς ἐν τῷ ὁμοίῳ ἐπὶ
τῶν ἄκρων· οὐδὲ γὰρ νῦν ἐθέλουσι καταβαίνειν εἰς
19 τὸ ἴσον ἡμῖν. ὁ δὲ Χειρίσοφος εἶπε· Καὶ τί δεῖ σὲ



ἰέναι καὶ λιπεῖν τὴν ὀπισθοφυλακίαν; ἀλλὰ ἄλλους
πέμψον, ἂν μή τινες ἐθέλοντες ἀγαθοὶ φαίνωνται.
ἐκ τούτου Ἀριστώνυμος Μεθυδριεὺς ἔρχεται ὁπλίτας 20
ἔχων καὶ Ἀριστέας Χῖος γυμνῆτας καὶ Νικόμαχος
Οἰταῖος γυμνῆτας· καὶ σύνθημα ἐποιήσαντο, ὁπότε
ἔχοιεν τὰ ἄκρα, πυρὰ κάειν πολλά. ταῦτα συνθέμενοι 21
ἠρίστων· ἐκ δὲ τοῦ ἀρίστου προήγαγεν ὁ Χειρίσοφος
τὸ στράτευμα πᾶν ὡς δέκα σταδίους πρὸς τοὺς πολε-
μίους, ὅπως ὡς μάλιστα δοκοίη ταύτῃ προσάξειν.
Ἐπειδὴ δὲ ἐδείπνησαν καὶ νὺξ ἐγένετο, οἱ μὲν 22
ταχθέντες ᾤχοντο, καὶ καταλαμβάνουσι τὸ ὄρος, οἱ
δὲ ἄλλοι αὐτοῦ ἀνεπαύοντο. οἱ δὲ πολέμιοι ἐπεὶ
ᾔσθοντο τὸ ὄρος ἐχόμενον, ἐγρηγόρεσαν καὶ ἔκαον
πυρὰ πολλὰ διὰ νυκτός. ἐπειδὴ δὲ ἡμέρα ἐγένετο, 23
Χειρίσοφος μὲν θυσάμενος ἦγε κατὰ τὴν ὁδόν. οἱ
δὲ τὸ ὄρος καταλαβόντες κατὰ τὰ ἄκρα ἐπῇσαν.
τῶν δ' αὖ πολεμίων τὸ μὲν πολὺ ἔμενεν ἐπὶ τῇ 24
ὑπερβολῇ τοῦ ὄρους, μέρος δ' αὐτῶν ἀπήντα τοῖς
κατὰ τὰ ἄκρα. πρὶν δὲ ὁμοῦ εἶναι τοὺς πολλοὺς
ἀλλήλοις, συμμειγνύασιν οἱ κατὰ τὰ ἄκρα, καὶ νικῶσιν
οἱ Ἕλληνες καὶ διώκουσιν. ἐν τούτῳ δὲ καὶ οἱ ἐκ 25
τοῦ πεδίου οἱ μὲν πελτασταὶ τῶν Ἑλλήνων δρόμῳ
ἔθεον πρὸς τοὺς παρατεταγμένους, Χειρίσοφος δὲ
βάδην ταχὺ ἐφείπετο σὺν τοῖς ὁπλίταις. οἱ δὲ πολέ- 26
μιοι οἱ ἐπὶ τῇ ὁδῷ ἐπειδὴ τὸ ἄνω ἑώρων ἡττώμενον,
φεύγουσι· καὶ ἀπέθανον μὲν οὐ πολλοὶ αὐτῶν, γέρρα
δὲ πάμπολλα ἐλήφθη· ἃ οἱ Ἕλληνες ταῖς μαχαίραις
κόπτοντες ἀχρεῖα ἐποίουν. ὡς δ' ἀνέβησαν, θύσαντες 27
καὶ τρόπαιον στησάμενοι κατέβησαν εἰς τὸ πεδίον,
καὶ εἰς κώμας πολλῶν κἀγαθῶν γεμούσας ἦλθον.

VII. Ἐπορεύθησαν δὲ διὰ Χαλύβων σταθμοὺς ἑπτὰ
15 παρασάγγας πεντήκοντα. οὗτοι ἦσαν ὧν διῆλθον
ἀλκιμώτατοι, καὶ εἰς χεῖρας ᾖσαν. εἶχον δὲ θώρα-
κας λινοῦς μέχρι τοῦ ἤτρου, ἀντὶ δὲ τῶν πτερύγων
16 σπάρτα πυκνὰ ἐστραμμένα. εἶχον δὲ καὶ κνημῖδας
καὶ κράνη καὶ παρὰ τὴν ζώνην μαχαίριον ὅσον
ξυήλην Λακωνικήν, ᾧ ἔσφαττον ὧν κρατεῖν δύ-
ναιντο, καὶ ἀποτεμόντες ἂν τὰς κεφαλὰς ἔχοντες
ἐπορεύοντο, καὶ ᾖδον καὶ ἐχόρευον ὁπότε οἱ πολέ-
μιοι αὐτοὺς ὄψεσθαι ἔμελλον. εἶχον δὲ καὶ δόρυ
17 ὡς πεντεκαίδεκα πήχεων μίαν λόγχην ἔχον. οὗτοι
ἐνέμενον ἐν τοῖς πολίσμασιν· ἐπεὶ δὲ παρέλθοιεν οἱ
Ἕλληνες, εἵποντο ἀεὶ μαχόμενοι. ᾤκουν δὲ ἐν τοῖς
ὀχυροῖς, καὶ τὰ ἐπιτήδεια ἐν τούτοις ἀνακεκομισμένοι
ἦσαν, ὥστε μηδὲν λαμβάνειν αὐτόθεν τοὺς Ἕλληνας,
ἀλλὰ διετράφησαν τοῖς κτήνεσιν ἃ ἐκ τῶν Ταόχων
18 ἔλαβον. ἐκ τούτου οἱ Ἕλληνες ἀφίκοντο ἐπὶ τὸν
Ἅρπασον ποταμόν, εὖρος τεττάρων πλέθρων. ἐν-
τεῦθεν ἐπορεύθησαν διὰ Σκυθηνῶν σταθμοὺς τέτ-
ταρας παρασάγγας εἴκοσι διὰ πεδίου εἰς κώμας· ἐν
19 αἷς ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο. ἐντεῦθεν
διῆλθον σταθμοὺς τέτταρας παρασάγγας εἴκοσι πρὸς
πόλιν μεγάλην καὶ εὐδαίμονα καὶ οἰκουμένην ἣ
ἐκαλεῖτο Γυμνιάς. ἐκ ταύτης ὁ ἄρχων τοῖς Ἕλλησιν
ἡγεμόνα πέμπει, ὅπως διὰ τῆς ἑαυτῶν πολεμίας
20 χώρας ἄγοι αὐτούς. ἐλθὼν δ' ἐκεῖνος λέγει ὅτι ἄξει
αὐτοὺς πέντε ἡμερῶν εἰς χωρίον ὅθεν ὄψονται θά-
λατταν· εἰ δὲ μή, τεθνάναι ἐπηγγείλατο. καὶ ἡγού-
μενος ἐπειδὴ ἐνέβαλλεν εἰς τὴν πολεμίαν, παρεκε-
λεύετο αἴθειν καὶ φθείρειν τὴν χώραν· ᾧ καὶ δῆλον



ἐγένετο ὅτι τούτου ἕνεκα ἔλθοι, οὐ τῆς τῶν Ἑλλή-
νων εὐνοίας. καὶ ἀφικνοῦνται ἐπὶ τὸ ὄρος τῇ πέμ- 21
πτῃ ἡμέρᾳ· ὄνομα δὲ τῷ ὄρει ἦν Θήχης. ἐπεὶ δὲ
οἱ πρῶτοι ἐγένοντο ἐπὶ τοῦ ὄρους, κραυγὴ πολλὴ
ἐγένετο. ἀκούσας δὲ ὁ Ξενοφῶν καὶ οἱ ὀπισθο- 22
φύλακες ᾠήθησαν ἔμπροσθεν ἄλλους ἐπιτίθεσθαι
πολεμίους· εἵποντο γὰρ ὄπισθεν οἱ ἐκ τῆς καομένης
χώρας, καὶ αὐτῶν οἱ ὀπισθοφύλακες ἀπέκτεινάν τέ
τινας καὶ ἐζώγρησαν ἐνέδραν ποιησάμενοι, καὶ γέρρα
ἔλαβον ὠμοβόεια ἀμφὶ τὰ εἴκοσι. ἐπειδὴ δ' ἡ βοὴ 23
πλείων τε ἐγίγνετο καὶ ἐγγύτερον καὶ οἱ ἀεὶ ἐπιόντες
ἔθεον δρόμῳ ἐπὶ τοὺς ἀεὶ βοῶντας καὶ πολλῷ μείζων
ἐγίγνετο ἡ βοὴ ὅσῳ δὴ πλείους ἐγίγνοντο, ἐδόκει δὴ
μεῖζόν τι εἶναι τῷ Ξενοφῶντι, καὶ ἀναβὰς ἐφ' ἵππον 24
καὶ Λύκιον καὶ τοὺς ἱππέας ἀναλαβὼν παρεβοήθει·
καὶ τάχα δὴ ἀκούουσι βοώντων τῶν στρατιωτῶν
Θάλαττα θάλαττα καὶ παρεγγυώντων. ἔνθα δὴ ἔθεον
πάντες καὶ οἱ ὀπισθοφύλακες, καὶ τὰ ὑποζύγια ἠλαύ-
νετο καὶ οἱ ἵπποι. ἐπεὶ δὲ ἀφίκοντο πάντες ἐπὶ τὸ 25
ἄκρον, ἐνταῦθα δὴ περιέβαλλον ἀλλήλους καὶ στρα-
τηγοὺς καὶ λοχαγοὺς δακρύοντες. καὶ ἐξαπίνης ὅτου
δὴ παρεγγυήσαντος οἱ στρατιῶται φέρουσι λίθους
καὶ ποιοῦσι κολωνὸν μέγαν. ἐνταῦθα ἀνετίθεσαν 26
δερμάτων πλῆθος ὠμοβοείων καὶ βακτηρίας καὶ τὰ
αἰχμάλωτα γέρρα, καὶ ὁ ἡγεμὼν αὐτός τε κατέτεμνε
τὰ γέρρα καὶ τοῖς ἄλλοις διεκελεύετο. μετὰ ταῦτα 27
τὸν ἡγεμόνα οἱ Ἕλληνες ἀποπέμπουσι δῶρα δόντες
ἀπὸ κοινοῦ ἵππον καὶ φιάλην ἀργυρᾶν καὶ σκευὴν
Περσικὴν καὶ δαρεικοὺς δέκα· ᾔτει δὲ μάλιστα τοὺς
δακτυλίους, καὶ ἔλαβε πολλοὺς παρὰ τῶν στρατιωτῶν.

κώμην δὲ δείξας αὐτοῖς οὗ σκηνήσουσι καὶ τὴν ὁδὸν
ἣν πορεύσονται εἰς Μάκρωνας, ἐπεὶ ἑσπέρα ἐγένετο,
ᾤχετο ἀπιών.

## Z.

III. Ἐπεὶ δὲ εἰσῆλθον ἐπὶ τὸ δεῖπνον τῶν τε Θρᾳ-
21 κῶν οἱ κράτιστοι τῶν παρόντων καὶ οἱ στρατηγοὶ
καὶ οἱ λοχαγοὶ τῶν Ἑλλήνων καὶ εἴ τις πρεσβεία
παρῆν ἀπὸ πόλεως, τὸ δεῖπνον μὲν ἦν καθημένοις
κύκλῳ· ἔπειτα δὲ τρίποδες εἰσηνέχθησαν πᾶσιν· οὗτοι
δ᾽ ἦσαν κρεῶν μεστοὶ νενεμημένων, καὶ ἄρτοι ζυμῖται
μεγάλοι προσπεπερονημένοι ἦσαν πρὸς τοῖς κρέασι.
22 μάλιστα δ᾽ αἱ τράπεζαι κατὰ τοὺς ξένους ἀεὶ ἐτί-
θεντο· νόμος γὰρ ἦν. καὶ πρῶτος τοῦτο ἐποίει
Σεύθης· ἀνελόμενος τοὺς ἑαυτῷ παρακειμένους ἄρ-
τους διέκλα κατὰ μικρὸν καὶ ἐρρίπτει οἷς αὐτῷ
ἐδόκει, καὶ τὰ κρέα ὡσαύτως, ὅσον μόνον γεύσα-
23 σθαι ἑαυτῷ καταλιπών. καὶ οἱ ἄλλοι δὲ κατὰ ταὐτὰ
ἐποίουν καθ᾽ οὓς αἱ τράπεζαι ἔκειντο. Ἀρκὰς δέ
τις Ἀρύστας ὄνομα, φαγεῖν δεινός, τὸ μὲν διαρρι-
πτεῖν εἴα χαίρειν, λαβὼν δὲ εἰς τὴν χεῖρα ὅσον τρι-
χοίνικον ἄρτον καὶ κρέα θέμενος ἐπὶ τὰ γόνατα
24 ἐδείπνει. κέρατα δὲ οἴνου περιέφερον, καὶ πάντες
ἐδέχοντο· ὁ δ᾽ Ἀρύστας, ἐπεὶ παρ᾽ αὐτὸν φέρων τὸ
κέρας ὁ οἰνοχόος ἧκεν, εἶπεν ἰδὼν τὸν Ξενοφῶντα
οὐκέτι δειπνοῦντα· Ἐκείνῳ, ἔφη, δός· σχολάζει γὰρ
25 ἤδη, ἐγὼ δὲ οὐδέπω. ἀκούσας Σεύθης τὴν φωνὴν
ἠρώτα τὸν οἰνοχόον τί λέγει. ὁ δὲ οἰνοχόος εἶπεν·



ἑλληνίζειν γὰρ ἠπίστατο. ἐνταῦθα μὲν δὴ γέλως
ἐγένετο.
Ἐπεὶ δὲ προυχώρει ὁ πότος, εἰσῆλθεν ἀνὴρ 26
Θρᾷξ ἵππον ἔχων λευκόν, καὶ λαβὼν κέρας μεστὸν
εἶπε· Προπίνω σοι, ὦ Σεύθη, καὶ τὸν ἵππον τοῦτον
δωροῦμαι, ἐφ᾽ οὗ καὶ διώκων ὃν ἂν ἐθέλῃς αἱ-
ρήσεις καὶ ἀποχωρῶν οὐ μὴ δείσῃς τὸν πολέμιον.
ἄλλος παῖδα εἰσαγαγὼν οὕτως ἐδωρήσατο προπίνων, 27
καὶ ἄλλος ἱμάτια τῇ γυναικί. καὶ Τιμασίων προ-
πίνων ἐδωρήσατο φιάλην τε ἀργυρᾶν καὶ τάπιδα
ἀξίαν δέκα μνῶν. Γνήσιππος δέ τις Ἀθηναῖος ἀνα- 28
στὰς εἶπεν ὅτι ἀρχαῖος εἴη νόμος κάλλιστος τοὺς
μὲν ἔχοντας διδόναι τῷ βασιλεῖ τιμῆς ἕνεκα, τοῖς δὲ
μὴ ἔχουσι διδόναι τὸν βασιλέα, ἵνα καὶ ἐγώ, ἔφη,
ἔχω σοι δωρεῖσθαι καὶ τιμᾶν. ὁ δὲ Ξενοφῶν ἠπο- 29
ρεῖτο τί ποιήσει· καὶ γὰρ ἐτύγχανεν ὡς τιμώμενος
ἐν τῷ πλησιαιτάτῳ δίφρῳ Σεύθῃ καθήμενος. ὁ δὲ
Ἡρακλείδης ἐκέλευεν αὐτῷ τὸ κέρας ὀρέξαι τὸν οἰ-
νοχόον. ὁ δὲ Ξενοφῶν, ἤδη γὰρ ὑποπεπωκὼς ἐτύγ-
χανεν, ἀνέστη θαρραλέως δεξάμενος τὸ κέρας καὶ
εἶπεν· Ἐγὼ δέ σοι, ὦ Σεύθη, δίδωμι ἐμαυτὸν καὶ 30
τοὺς ἐμοὺς τούτους ἑταίρους φίλους εἶναι πιστούς,
καὶ οὐδένα ἄκοντα, ἀλλὰ πάντας μᾶλλον ἔτι ἐμοῦ
σοι βουλομένους φίλους εἶναι. καὶ νῦν πάρεισιν οὐ- 31
δέν σε προσαιτοῦντες, ἀλλὰ καὶ προϊέμενοι καὶ πονεῖν
ὑπὲρ σοῦ καὶ προκινδυνεύειν ἐθέλοντες· μεθ᾽ ὧν,
ἂν οἱ θεοὶ θέλωσι, πολλὴν χώραν τὴν μὲν ἀπολήψει
πατρῴαν οὖσαν, τὴν δὲ κτήσει, πολλοὺς δὲ ἵππους,
πολλοὺς δὲ ἄνδρας καὶ γυναῖκας κατακτήσει, οὓς οὐ
λῄζεσθαί σε δεήσει, ἀλλ᾽ αὐτοὶ φέροντες παρέσονται

32 πρὸς σὲ δῶρα. ἀναστὰς ὁ Σεύθης συνεξέπιε καὶ
συγκατεσκεδάσατο μετ᾽ αὐτοῦ τὸ κέρας. μετὰ ταῦτα
εἰσῆλθον κέρασί τε οἵοις σημαίνουσιν αὐλοῦντες καὶ
σάλπιγξιν ὠμοβοείαις ῥυθμούς τε καὶ οἷον μαγάδι
33 σαλπίζοντες. καὶ αὐτὸς Σεύθης ἀναστὰς ἀνέκραγέ
τε πολεμικὸν καὶ ἐξήλατο ὥσπερ βέλος φυλαττόμενος
μάλα ἐλαφρῶς. εἰσῆσαν δὲ καὶ γελωτοποιοί.

# ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ.

## Α.

Τῶν δὲ περὶ Λέσβον ναυμαχησάντων στρατηγῶν VII.
Πρωτόμαχος μὲν καὶ Ἀριστογένης οὐκ ἀπῆλθον εἰς
Ἀθήνας, τῶν δὲ ἓξ καταπλευσάντων, Περικλέους καὶ 2
Διομέδοντος καὶ Λυσίου καὶ Ἀριστοκράτους καὶ Θρα-
σύλλου καὶ Ἐρασινίδου, Ἀρχέδημος ὁ τοῦ δήμου
τότε προεστηκὼς ἐν Ἀθήναις καὶ τῆς διωβελίας ἐπι-
μελόμενος Ἐρασινίδῃ ἐπιβολὴν ἐπιβαλὼν κατηγόρει
ἐν δικαστηρίῳ, φάσκων ἐξ Ἑλλησπόντου αὐτὸν ἔχειν
χρήματα ὄντα τοῦ δήμου· κατηγόρει δὲ καὶ περὶ
τῆς στρατηγίας. καὶ ἔδοξε τῷ δικαστηρίῳ δῆσαι τὸν
Ἐρασινίδην. μετὰ δὲ ταῦτα ἐν τῇ βουλῇ διηγοῦντο 3
οἱ στρατηγοὶ περί τε τῆς ναυμαχίας καὶ τοῦ μεγέθους
τοῦ χειμῶνος. Τιμοκράτους δ᾽ εἰπόντος ὅτι καὶ τοὺς
ἄλλους χρὴ δεθέντας εἰς τὸν δῆμον παραδοθῆναι, ἡ
βουλὴ ἔδησε. μετὰ δὲ ταῦτα ἐκκλησία ἐγένετο, ἐν ᾗ 4
τῶν στρατηγῶν κατηγόρουν ἄλλοι τε καὶ Θηραμένης
μάλιστα, δικαίους εἶναι λέγων λόγον ὑποσχεῖν διότι
οὐκ ἀνείλοντο τοὺς ναυαγούς. ὅτι μὲν γὰρ οὐδενὸς
ἄλλου καθήπτοντο, ἐπιστολὴν ἐπεδείκνυε μαρτύριον
ἣν ἔπεμψαν οἱ στρατηγοὶ εἰς τὴν βουλὴν καὶ εἰς τὸν

5 δῆμον, ἄλλο οὐδὲν αἰτιώμενοι ἢ τὸν χειμῶνα. μετὰ
ταῦτα δὲ οἱ στρατηγοὶ βραχέως ἕκαστος ἀπελογήσατο,
οὐ γὰρ προυτέθη σφίσι λόγος κατὰ τὸν νόμον, καὶ
τὰ πεπραγμένα διηγοῦντο, ὅτι αὐτοὶ μὲν ἐπὶ τοὺς
πολεμίους πλέοιεν, τὴν δὲ ἀναίρεσιν τῶν ναυαγῶν
προστάξαιεν τῶν τριηράρχων ἀνδράσιν ἱκανοῖς καὶ
ἐστρατηγηκόσιν ἤδη, Θηραμένει καὶ Θρασυβούλῳ καὶ
6 ἄλλοις τοιούτοις· καὶ εἴπερ γέ τινας δέοι, περὶ τῆς
ἀναιρέσεως οὐδένα ἄλλον ἔχειν αἰτιάσασθαι ἢ τούτους
οἷς προσετάχθη. καὶ οὐχ, ὅτι γε κατηγοροῦσιν ἡμῶν,
ἔφασαν, ψευσόμεθα φάσκοντες αὐτοὺς αἰτίους εἶναι,
ἀλλὰ τὸ μέγεθος τοῦ χειμῶνος εἶναι τὸ κωλῦσαν
τὴν ἀναίρεσιν. τούτων δὲ μάρτυρας παρείχοντο τοὺς
κυβερνήτας καὶ ἄλλους τῶν συμπλεόντων πολλούς.
7 τοιαῦτα λέγοντες ἔπειθον τὸν δῆμον· ἐβούλοντο δὲ
πολλοὶ τῶν ἰδιωτῶν ἐγγυᾶσθαι ἀνιστάμενοι· ἔδοξε δὲ
ἀναβαλέσθαι εἰς ἑτέραν ἐκκλησίαν (τότε γὰρ ὀψὲ ἦν
καὶ τὰς χεῖρας οὐκ ἂν καθεώρων), τὴν δὲ βουλὴν
προβουλεύσασαν εἰσενεγκεῖν ὅτῳ τρόπῳ οἱ ἄνδρες
8 κρίνοιντο. μετὰ δὲ ταῦτα ἐγίγνετο Ἀπατούρια, ἐν οἷς
οἵ τε φράτερες καὶ οἱ συγγενεῖς σύνεισι σφίσιν αὐτοῖς.
οἱ οὖν περὶ τὸν Θηραμένην παρεσκεύασαν ἀνθρώπους
μέλανα ἱμάτια ἔχοντας καὶ ἐν χρῷ κεκαρμένους πολ-
λοὺς ἐν ταύτῃ τῇ ἑορτῇ, ἵνα πρὸς τὴν ἐκκλησίαν
ἥκοιεν, ὡς δὴ συγγενεῖς ὄντες τῶν ἀπολωλότων, καὶ
Καλλίξεινον ἔπεισαν ἐν τῇ βουλῇ κατηγορεῖν τῶν
9 στρατηγῶν. ἐντεῦθεν ἐκκλησίαν ἐποίουν, εἰς ἣν ἡ
βουλὴ εἰσήνεγκε τὴν ἑαυτῆς γνώμην Καλλιξείνου εἰ-
πόντος τήνδε· Ἐπειδὴ τῶν τε κατηγορούντων κατὰ
τῶν στρατηγῶν καὶ ἐκείνων ἀπολογουμένων ἐν τῇ



προτέρᾳ ἐκκλησίᾳ ἀκηκόασι, διαψηφίσασθαι Ἀθη-
ναίους ἅπαντας κατὰ φυλάς· θεῖναι δὲ εἰς τὴν φυλὴν
ἑκάστην δύο ὑδρίας· ἐφ' ἑκάστῃ δὲ τῇ φυλῇ κήρυκα
κηρύττειν, ὅτῳ δοκοῦσιν ἀδικεῖν οἱ στρατηγοὶ οὐκ
ἀνελόμενοι τοὺς νικήσαντας ἐν τῇ ναυμαχίᾳ, εἰς τὴν
προτέραν ψηφίσασθαι, ὅτῳ δὲ μή, εἰς τὴν ὑστέραν·
ἂν δὲ δόξωσιν ἀδικεῖν, θανάτῳ ζημιῶσαι καὶ τοῖς 10
ἕνδεκα παραδοῦναι καὶ τὰ χρήματα δημεῦσαι, τὸ δ'
ἐπιδέκατον τῆς θεοῦ εἶναι. παρῆλθε δέ τις εἰς τὴν 11
ἐκκλησίαν φάσκων ἐπὶ τεύχους ἀλφίτων σωθῆναι·
ἐπιστέλλειν δ' αὐτῷ τοὺς ἀπολλυμένους, ἐὰν σωθῇ,
ἀπαγγεῖλαι τῷ δήμῳ ὅτι οἱ στρατηγοὶ οὐκ ἀνείλοντο
τοὺς ἀρίστους ὑπὲρ τῆς πατρίδος γενομένους. τὸν 12
δὲ Καλλίξεινον προσεκαλέσαντο παράνομα φάσκοντες
συγγεγραφέναι Εὐρυπτόλεμός τε ὁ Πεισιάνακτος καὶ
ἄλλοι τινές. τοῦ δὲ δήμου ἔνιοι ταῦτα ἐπῄνουν, τὸ
δὲ πλῆθος ἐβόα δεινὸν εἶναι, εἰ μή τις ἐάσει τὸν
δῆμον πράττειν ὃ ἂν βούληται. καὶ ἐπὶ τούτοις εἰ- 13
πόντος Λυκίσκου καὶ τούτους τῇ αὐτῇ ψήφῳ κρίνε-
σθαι ἧπερ καὶ τοὺς στρατηγούς, ἐὰν μὴ ἀφῶσι τὴν
κλῆσιν, ἐπεθορύβησε πάλιν ὁ ὄχλος, καὶ ἠναγκάσθη-
σαν ἀφιέναι τὰς κλήσεις. τῶν δὲ πρυτάνεών τινων 14
οὐ φασκόντων προθήσειν τὴν διαψήφισιν παρὰ τὸν
νόμον, αὖθις Καλλίξεινος ἀναβὰς κατηγόρει αὐτῶν
τὰ αὐτά. οἱ δὲ ἐβόων καλεῖν τοὺς οὐ φάσκοντας.
οἱ δὲ πρυτάνεις φοβηθέντες ὡμολόγουν πάντες προ- 15
θήσειν πλὴν Σωκράτους τοῦ Σωφρονίσκου· οὗτος
δ' οὐκ ἔφη ἀλλ' ἢ κατὰ νόμον πάντα ποιήσειν. μετὰ 16
δὲ ταῦτα ἀναβὰς Εὐρυπτόλεμος ἔλεξεν ὑπὲρ τῶν
στρατηγῶν τάδε.

Τὰ μὲν κατηγορήσων, ὦ ἄνδρες Ἀθηναῖοι, ἀνέ-
βην ἐνθάδε Περικλέους ἀναγκαίου μοι ὄντος καὶ ἐπι-
τηδείου καὶ Διομέδοντος φίλου, τὰ δ' ὑπεραπολογη-
σόμενος, τὰ δὲ συμβουλεύσων ἅ μοι δοκεῖ ἄριστα
17 εἶναι ἁπάσῃ τῇ πόλει. κατηγορῶ μὲν οὖν αὐτῶν
ὅτι μετέπεισαν τοὺς συνάρχοντας βουλομένους πέμπειν
γράμματα τῇ τε βουλῇ καὶ ὑμῖν ὅτι ἐπέταξαν τῷ
Θηραμένει καὶ Θρασυβούλῳ τετταράκοντα καὶ ἑπτὰ
τριήρεσιν ἀνελέσθαι τοὺς ναυαγούς, οἱ δὲ οὐκ ἀνεί-
18 λοντο. εἶτα νῦν τὴν αἰτίαν κοινὴν ἔχουσιν ἐκείνων
ἰδίᾳ ἁμαρτόντων, καὶ ἀντὶ τῆς τότε φιλανθρωπίας
νῦν ὑπ' ἐκείνων τε καί τινων ἄλλων ἐπιβουλευόμενοι
19 κινδυνεύουσιν ἀπολέσθαι; οὔκ, ἂν ὑμεῖς γέ μοι πεί-
θησθε τὰ δίκαια καὶ ὅσια ποιοῦντες καὶ ὅθεν μάλιστα
τἀληθῆ πεύσεσθε, καὶ οὐ μετανοήσαντες ὕστερον εὑ-
ρήσετε σφᾶς αὐτοὺς ἡμαρτηκότας τὰ μέγιστα εἰς θεούς
τε καὶ ὑμᾶς αὐτούς. συμβουλεύω δ' ὑμῖν, ἐν οἷς
οὔθ' ὑπ' ἐμοῦ οὔθ' ὑπ' ἄλλου οὐδενὸς ἔστιν ἐξαπατη-
θῆναι ὑμᾶς, καὶ τοὺς ἀδικοῦντας εἰδότες κολάσεσθε
ᾗ ἂν βούλησθε δίκῃ, καὶ ἅμα πάντας καὶ καθ' ἕνα
ἕκαστον, εἰ μὴ πλέον, ἀλλὰ κἂν μίαν ἡμέραν δόντες
αὐτοῖς ὑπὲρ αὐτῶν ἀπολογήσασθαι, μὴ ἄλλοις μᾶλλον
20 πιστεύοντες ἢ ὑμῖν αὐτοῖς. ἴστε δέ, ὦ ἄνδρες Ἀθη-
ναῖοι, πάντες ὅτι τὸ Καννωνοῦ ψήφισμά ἐστιν ἰσχυ-
ρότατον, ὃ κελεύει, ἐάν τις τὸν τῶν Ἀθηναίων δῆμον
ἀδικῇ, δεδεμένον ἀποδικεῖν ἐν τῷ δήμῳ, καὶ ἐὰν
καταγνωσθῇ ἀδικεῖν, ἀποθανεῖν εἰς τὸ βάραθρον ἐμ-
βληθέντα, τὰ δὲ χρήματα αὐτοῦ δημευθῆναι καὶ τῆς
21 θεοῦ τὸ ἐπιδέκατον εἶναι. κατὰ τοῦτο τὸ ψήφισμα
κελεύω κρίνεσθαι τοὺς στρατηγοὺς καὶ νὴ Δία, ἂν



ὑμῖν γε δοκῇ, πρῶτον Περικλέα τὸν ἐμοὶ προσ-
ήκοντα· αἰσχρὸν γάρ μοί ἐστιν ἐκεῖνον περὶ πλείονος
ποιεῖσθαι ἢ τὴν ὅλην πόλιν. τοῦτο δ' εἰ μὴ βούλε- 22
σθε, κατὰ τόνδε τὸν νόμον κρίνατε, ὅς ἐστιν ἐπὶ τοῖς
ἱεροσύλοις καὶ προδόταις, ἐάν τις ἢ τὴν πόλιν προ-
διδῷ ἢ τὰ ἱερὰ κλέπτῃ, κριθέντα ἐν δικαστηρίῳ, ἂν
καταγνωσθῇ, μὴ ταφῆναι ἐν τῇ Ἀττικῇ, τὰ δὲ χρή-
ματα αὐτοῦ δημόσια εἶναι. τούτων ὁποτέρῳ βούλε- 23
σθε, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ νόμῳ κρινέσθων οἱ
ἄνδρες κατὰ ἕνα ἕκαστον, διῃρημένων τῆς ἡμέρας
τριῶν μερῶν, ἑνὸς μὲν ἐν ᾧ συλλέγεσθαι ὑμᾶς δεῖ
καὶ διαψηφίζεσθαι, ἐάν τε ἀδικεῖν δοκῶσιν ἐάν τε
μή, ἑτέρου δ' ἐν ᾧ κατηγορῆσαι, ἑτέρου δ' ἐν ᾧ
ἀπολογήσασθαι. τούτων δὲ γιγνομένων οἱ μὲν ἀδι- 24
κοῦντες τεύξονται τῆς μεγίστης τιμωρίας, οἱ δ' ἀναί-
τιοι ἐλευθερωθήσονται ὑφ' ὑμῶν, ὦ Ἀθηναῖοι, καὶ
οὐκ ἀδίκως ἀπολοῦνται. ὑμεῖς δὲ κατὰ τὸν νόμον 25
εὐσεβοῦντες καὶ εὐορκοῦντες κρινεῖτε καὶ οὐ συμ-
πολεμήσετε Λακεδαιμονίοις τοὺς ἐκείνους ἑβδομήκοντα
ναῦς ἀφελομένους καὶ νενικηκότας, τούτους ἀπολλύν-
τες ἀκρίτους παρὰ τὸν νόμον. τί δὲ καὶ δεδιότες 26
σφόδρα οὕτως ἐπείγεσθε; ἢ μὴ οὐχ ὑμεῖς ὃν ἂν
βούλησθε ἀποκτείνητε καὶ ἐλευθερώσητε, ἂν κατὰ
τὸν νόμον κρίνητε, ἀλλ' οὐκ, ἂν παρὰ τὸν νόμον,
ὥσπερ Καλλίξεινος τὴν βουλὴν ἔπεισεν εἰς τὸν δῆμον
εἰσενεγκεῖν μιᾷ ψήφῳ; ἀλλ' ἴσως ἄν τινα καὶ οὐκ 27
αἴτιον ὄντα ἀποκτείναιτε· μεταμελῆσαι δὲ ὕστερον
ἀναμνήσθητε ὡς ἀλγεινὸν καὶ ἀνωφελὲς ἤδη ἐστί,
πρὸς δ' ἔτι καὶ περὶ θανάτου ἀνθρώπου ἡμαρτηκότας.
δεινὰ δ' ἂν ποιήσαιτε, εἰ Ἀριστάρχῳ μὲν πρότερον 28

τὸν δῆμον καταλύοντι, εἶτα δὲ Οἰνόην προδιδόντι
Θηβαίοις πολεμίοις οὖσιν, ἔδοτε ἡμέραν ἀπολογήσα-
σθαι ᾗ ἐβούλετο καὶ τἆλλα κατὰ τὸν νόμον προὔθετε,
τοὺς δὲ στρατηγοὺς τοὺς πάντα ὑμῖν κατὰ γνώμην
πράξαντας, νικήσαντας δὲ τοὺς πολεμίους, τῶν αὐτῶν
29 τούτων ἀποστερήσετε. μὴ ὑμεῖς γε, ὦ Ἀθηναῖοι, ἀλλ'
ἑαυτῶν ὄντες τοὺς νόμους, δι' οὓς μάλιστα μέγιστοί
ἐστε, φυλάττοντες, ἄνευ τούτων μηδὲν πράττειν πει-
ρᾶσθε. ἐπανέλθετε δὲ καὶ ἐπ' αὐτὰ τὰ πράγματα
καθ' ἃ καὶ αἱ ἁμαρτίαι δοκοῦσι γεγενῆσθαι τοῖς
στρατηγοῖς. ἐπεὶ γὰρ κρατήσαντες τῇ ναυμαχίᾳ εἰς
τὴν γῆν κατέπλευσαν, Διομέδων μὲν ἐκέλευεν ἀνα-
χθέντας ἐπὶ κέρως ἅπαντας ἀναιρεῖσθαι τὰ ναυάγια
καὶ τοὺς ναυαγούς, Ἐρασινίδης δ' ἐπὶ τοὺς πρὸς
Μυτιλήνῃ πολεμίους τὴν ταχίστην πλεῖν ἅπαντας·
Θράσυλλος δὲ ἀμφότερ' ἂν ἔφη γενέσθαι, ἂν τὰς
μὲν αὐτοῦ καταλίπωσι, ταῖς δὲ ἐπὶ τοὺς πολεμίους
30 πλέωσι· καὶ δοξάντων τούτων καταλιπεῖν τρεῖς ναῦς
ἕκαστον ἐκ τῆς αὐτοῦ συμμορίας, τῶν στρατηγῶν
ὀκτὼ ὄντων, καὶ τὰς τῶν ταξιάρχων δέκα καὶ τὰς
Σαμίων δέκα καὶ τὰς τῶν ναυάρχων τρεῖς· αὗται
ἅπασαι γίγνονται ἑπτὰ καὶ τετταράκοντα, τέτταρες
περὶ ἑκάστην ναῦν τῶν ἀπολωλυιῶν δώδεκα οὐσῶν.
31 τῶν δὲ καταλειφθέντων ἦσαν καὶ Θρασύβουλος καὶ
Θηραμένης, ὃς ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ κατηγόρει
τῶν στρατηγῶν. ταῖς δὲ ἄλλαις ναυσὶν ἔπλεον ἐπὶ
τὰς πολεμίας. τί τούτων οὐχ ἱκανῶς καὶ καλῶς
ἔπραξαν; οὐκοῦν δίκαιον τὰ μὲν πρὸς τοὺς πολεμίους
μὴ καλῶς πραχθέντα τοὺς πρὸς τοῦτο ταχθέντας
ὑπέχειν λόγον, τοὺς δὲ πρὸς τὴν ἀναίρεσιν, μὴ ποι-



ἤσαντας ἃ οἱ στρατηγοὶ ἐκέλευσαν, διότι οὐκ ἀνεί-
λοντο, κρίνεσθαι. τοσοῦτον δ' ἔχω εἰπεῖν ὑπὲρ ἀμφο- 32
τέρων ὅτι ὁ χειμὼν διεκώλυσε μηδὲν πρᾶξαι ὧν
οἱ στρατηγοὶ παρεκελεύσαντο. τούτων δὲ μάρτυρες
οἱ σωθέντες ἀπὸ τοῦ αὐτομάτου, ὧν εἷς τῶν ἡμετέ-
ρων στρατηγῶν ἐκ καταδύσης νεὼς διασωθείς, ὃν
κελεύουσι τῇ αὐτῇ ψήφῳ κρίνεσθαι, καὶ αὐτὸν τότε
δεόμενον ἀναιρέσεως, ᾗπερ τοὺς οὐ πράξαντας τὰ
προσταχθέντα. μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀντὶ 33
μὲν τῆς νίκης καὶ τῆς εὐτυχίας ὅμοια ποιήσητε τοῖς
ἡττημένοις τε καὶ ἀτυχοῦσιν, ἀντὶ δὲ τῶν ἐκ θεοῦ
ἀναγκαίων ἀσυγγνωμονεῖν δόξητε, προδοσίαν κατα-
γνόντες ἀντὶ τῆς ἀδυναμίας οὐχ ἱκανῶν γενομένων
διὰ τὸν χειμῶνα πρᾶξαι τὰ προσταχθέντα· ἀλλὰ πολὺ
δικαιότερον στεφάνοις γεραίρειν τοὺς νικῶντας ἢ θα-
νάτῳ ζημιοῦν πονηροῖς ἀνθρώποις πειθομένους.

Ταῦτ' εἰπὼν Εὐρυπτόλεμος ἔγραψε γνώμην κατὰ 34
τὸ Καννωνοῦ ψήφισμα κρίνεσθαι τοὺς ἄνδρας δίχα
ἕκαστον· ἡ δὲ τῆς βουλῆς ἦν μιᾷ ψήφῳ ἅπαντας
κρίνειν. τούτων δὲ διαχειροτονουμένων τὸ μὲν πρῶ-
τον ἔκριναν τὴν Εὐρυπτολέμου· ὑπομοσαμένου δὲ
Μενεκλέους καὶ πάλιν διαχειροτονίας γενομένης ἔκρι-
ναν τὴν τῆς βουλῆς. καὶ μετὰ ταῦτα κατεψηφίσαντο
τῶν ναυμαχησάντων στρατηγῶν ὀκτὼ ὄντων· ἀπέθα-
νον δὲ οἱ παρόντες ἕξ. καὶ οὐ πολλῷ χρόνῳ ὕστερον 35
μετέμελε τοῖς Ἀθηναίοις, καὶ ἐψηφίσαντο, οἵτινες τὸν
δῆμον ἐξηπάτησαν, προβολὰς αὐτῶν εἶναι, καὶ ἐγ-
γυητὰς καταστῆσαι, ἕως ἂν κριθῶσιν, εἶναι δὲ καὶ
Καλλίξεινον τούτων. προυβλήθησαν δὲ καὶ ἄλλοι τέτ-
ταρες, καὶ ἐδέθησαν ὑπὸ τῶν ἐγγυησαμένων, ὕστερον

δὲ στάσεώς τινος γενομένης, ἐν ᾗ Κλεοφῶν ἀπέθα-
νεν, ἀπέδρασαν οὗτοι, πρὶν κριθῆναι· Καλλίξεινος δὲ
κατελθὼν ὅτε καὶ οἱ ἐκ Πειραιῶς εἰς τὸ ἄστυ, μισού-
μενος ὑπὸ πάντων λιμῷ ἀπέθανεν.

---

## B.

II. 3 Ἐν δὲ ταῖς Ἀθήναις τῆς Παράλου ἀφικομένης
νυκτὸς ἐλέγετο ἡ τῶν νεῶν συμφορὰ ἡ ἐν τῷ Ἑλλησ-
πόντῳ γενομένη, καὶ οἰμωγὴ ἐκ τοῦ Πειραιῶς διὰ
τῶν μακρῶν τειχῶν εἰς ἄστυ διῆκεν, ὁ ἕτερος τῷ
ἑτέρῳ παραγγέλλων· ὥστ᾽ ἐκείνης τῆς νυκτὸς οὐδεὶς
ἐκοιμήθη, οὐ μόνον τοὺς ἀπολωλότας πενθοῦντες,
ἀλλὰ πολὺ μᾶλλον ἔτι αὐτοὶ ἑαυτούς, πείσεσθαι νομί-
ζοντες οἷα ἐποίησαν Μηλίους τε Λακεδαιμονίων ἀπ-
οίκους ὄντας, κρατήσαντες πολιορκίᾳ, καὶ Ἱστιαιᾶς
καὶ Σκιωναίους καὶ Τορωναίους καὶ Αἰγινήτας καὶ
4 ἄλλους πολλοὺς τῶν Ἑλλήνων. τῇ δ᾽ ὑστεραίᾳ ἐκκλη-
σίαν ἐποίησαν, ἐν ᾗ ἔδοξε τούς τε λιμένας ἀποχῶσαι
πλὴν ἑνὸς καὶ τὰ τείχη εὐτρεπίζειν καὶ φυλακὰς ἐφι-
στάναι καὶ τἆλλα πάντα ὡς εἰς πολιορκίαν παρασκευ-
άζειν τὴν πόλιν. καὶ οὗτοι μὲν περὶ ταῦτα ἦσαν.
5 Λύσανδρος δ᾽ ἐκ τοῦ Ἑλλησπόντου ναυσὶ δια-
κοσίαις ἀφικόμενος εἰς Λέσβον κατεσκευάσατο τάς
τε ἄλλας πόλεις ἐν αὐτῇ καὶ Μυτιλήνην· εἰς δὲ τὰ
ἐπὶ Θρᾴκης χωρία ἔπεμψε δέκα τριήρεις ἔχοντα Ἐτε-
όνικον, ὃς τὰ ἐκεῖ πάντα πρὸς Λακεδαιμονίους μετέ-
6 στησεν. εὐθὺς δὲ καὶ ἡ ἄλλη Ἑλλὰς ἀφειστήκει Ἀθη-
ναίων μετὰ τὴν ναυμαχίαν πλὴν Σαμίων· οὗτοι δὲ



σφαγὰς τῶν γνωρίμων ποιήσαντες κατεῖχον τὴν πόλιν.
Λύσανδρος δὲ μετὰ ταῦτα ἔπεμψε πρὸς Ἆγίν τε εἰς 7
Δεκέλειαν καὶ εἰς Λακεδαίμονα ὅτι προσπλεῖ σὺν δια-
κοσίαις ναυσίν. Λακεδαιμόνιοι δ᾽ ἐξῇσαν πανδημεὶ
καὶ οἱ ἄλλοι Πελοποννήσιοι πλὴν Ἀργείων, παραγγεί-
λαντος τοῦ ἑτέρου βασιλέως Παυσανίου. ἐπεὶ δ᾽ ἅπαν- 8
τες ἠθροίσθησαν, ἀναλαβὼν αὐτοὺς πρὸς τὴν πόλιν
ἐστρατοπέδευσεν ἐν τῇ Ἀκαδημείᾳ. Λύσανδρος δὲ 9
ἀφικόμενος εἰς Αἴγιναν ἀπέδωκε τὴν πόλιν Αἰγινή-
ταις, ὅσους ἐδύνατο πλείστους αὐτῶν ἀθροίσας, ὡς
δ᾽ αὔτως καὶ Μηλίοις καὶ τοῖς ἄλλοις ὅσοι τῆς αὐτῶν
ἐστέροντο. μετὰ δὲ τοῦτο δῃώσας Σαλαμῖνα ὡρμί-
σατο πρὸς τὸν Πειραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκατόν,
καὶ τὰ πλοῖα εἶργε τοῦ εἴσπλου.
Οἱ δ᾽ Ἀθηναῖοι πολιορκούμενοι κατὰ γῆν καὶ 10
κατὰ θάλατταν ἠπόρουν τί χρὴ ποιεῖν, οὔτε νεῶν
οὔτε συμμάχων αὐτοῖς ὄντων οὔτε σίτου· ἐνόμιζον
δὲ οὐδεμίαν εἶναι σωτηρίαν μὴ οὐ παθεῖν ἃ οὐ τι-
μωρούμενοι ἐποίησαν, ἀλλὰ διὰ τὴν ὕβριν ἠδίκουν
ἀνθρώπους μικροπολίτας οὐδ᾽ ἐπὶ μιᾷ αἰτίᾳ ἑτέρᾳ ἢ
ὅτι ἐκείνοις συνεμάχουν. διὰ ταῦτα τοὺς ἀτίμους ἐπι- 11
τίμους ποιήσαντες ἐκαρτέρουν, καὶ ἀποθνῃσκόντων ἐν
τῇ πόλει λιμῷ πολλῶν οὐ διελέγοντο περὶ διαλλαγῆς.
ἐπεὶ δὲ παντελῶς ἤδη ὁ σῖτος ἐπελελοίπει, ἔπεμψαν
πρέσβεις παρ᾽ Ἆγιν, βουλόμενοι σύμμαχοι εἶναι Λακε-
δαιμονίοις ἔχοντες τὰ τείχη καὶ τὸν Πειραιᾶ καὶ ἐπὶ
τούτοις συνθήκας ποιεῖσθαι. ὁ δὲ αὐτοὺς εἰς Λακε- 12
δαίμονα ἐκέλευεν ἰέναι· οὐ γὰρ εἶναι κύριος αὐτός.
ἐπεὶ δ᾽ ἀπήγγειλαν οἱ πρέσβεις ταῦτα τοῖς Ἀθηναίοις,
ἔπεμψαν αὐτοὺς εἰς Λακεδαίμονα. οἱ δ᾽ ἐπεὶ ἦσαν 13

ἐν Σελλασίᾳ τῆς Λακωνικῆς καὶ ἐπύθοντο οἱ ἔφοροι
αὐτῶν ἃ ἔλεγον, ὄντα οἷάπερ καὶ πρὸς Ἆγιν, αὐτό-
θεν αὐτοὺς ἐκέλευον ἀπιέναι, καὶ εἴ τι δέονται εἰρή-
14 νης, κάλλιον ἥκειν βουλευσαμένους. οἱ δὲ πρέσβεις
ἐπεὶ ἧκον οἴκαδε καὶ ἀπήγγειλαν ταῦτα εἰς τὴν πόλιν,
ἀθυμία ἐνέπεσε πᾶσιν· ᾤοντο γὰρ ἀνδραποδισθήσε-
σθαι, καὶ ἕως ἂν πέμπωσιν ἑτέρους πρέσβεις, πολλοὺς
15 τῷ λιμῷ ἀπολεῖσθαι. περὶ δὲ τῶν τειχῶν τῆς καθ-
αιρέσεως οὐδεὶς ἐβούλετο συμβουλεύειν· Ἀρχέστρατος
γὰρ εἰπὼν ἐν τῇ βουλῇ κράτιστον εἶναι ἐφ᾽ οἷς Λακε-
δαιμόνιοι προυκαλοῦντο εἰρήνην ποιεῖσθαι, ἐδέθη·
προυκαλοῦντο δὲ τῶν μακρῶν τειχῶν ἐπὶ δέκα στα-
δίους καθελεῖν ἑκατέρου· ἐγένετο δὲ ψήφισμα μὴ
16 ἐξεῖναι περὶ τούτων συμβουλεύειν. τοιούτων δὲ ὄντων
Θηραμένης εἶπεν ἐν ἐκκλησίᾳ ὅτι εἰ βούλονται αὐτὸν
πέμψαι παρὰ Λύσανδρον, εἰδὼς ἥξει Λακεδαιμονίους
πότερον ἐξανδραποδίσασθαι τὴν πόλιν βουλόμενοι ἀντ-
έχουσι περὶ τῶν τειχῶν ἢ πίστεως ἕνεκα. πεμφθεὶς
δὲ διέτριβε παρὰ Λυσάνδρῳ τρεῖς μῆνας καὶ πλέον,
ἐπιτηρῶν ὁπότε Ἀθηναῖοι ἔμελλον διὰ τὸ ἐπιλελοι-
πέναι τὸν σῖτον ἅπαντα ὅ,τι τις λέγοι ὁμολογήσειν.
17 ἐπεὶ δὲ ἧκε τετάρτῳ μηνί, ἀπήγγειλεν ἐν ἐκκλησίᾳ
ὅτι αὐτὸν Λύσανδρος τέως μὲν κατέχοι, εἶτα κελεύοι
εἰς Λακεδαίμονα ἰέναι· οὐ γὰρ εἶναι κύριος ὧν ἐρω-
τῷτο ὑπ᾽ αὐτοῦ, ἀλλὰ τοὺς ἐφόρους. μετὰ ταῦτα
ᾑρέθη πρεσβευτὴς εἰς Λακεδαίμονα αὐτοκράτωρ δέ-
18 κατος αὐτός. Λύσανδρος δὲ τοῖς ἐφόροις ἔπεμψεν
ἀγγελοῦντα μετ᾽ ἄλλων Λακεδαιμονίων Ἀριστοτέλην,
φυγάδα Ἀθηναῖον ὄντα, ὅτι ἀποκρίναιτο Θηραμένει
19 ἐκείνους κυρίους εἶναι εἰρήνης καὶ πολέμου. Θηρα-



μένης δὲ καὶ οἱ ἄλλοι πρέσβεις ἐπεὶ ἦσαν ἐν Σελλα-
σίᾳ, ἐρωτώμενοι δὲ ἐπὶ τίνι λόγῳ ἥκοιεν εἶπον ὅτι
αὐτοκράτορες περὶ εἰρήνης, μετὰ ταῦτα οἱ ἔφοροι
καλεῖν ἐκέλευον αὐτούς. ἐπεὶ δ᾽ ἧκον, ἐκκλησίαν
ἐποίησαν, ἐν ᾗ ἀντέλεγον Κορίνθιοι καὶ Θηβαῖοι μά-
λιστα, πολλοὶ δὲ καὶ ἄλλοι τῶν Ἑλλήνων, μὴ σπένδε-
σθαι Ἀθηναίοις, ἀλλ᾽ ἐξαιρεῖν. Λακεδαιμόνιοι δὲ οὐκ 20
ἔφασαν πόλιν Ἑλληνίδα ἀνδραποδιεῖν μέγα ἀγαθὸν
εἰργασμένην ἐν τοῖς μεγίστοις κινδύνοις γενομένοις
τῇ Ἑλλάδι, ἀλλ᾽ ἐποιοῦντο εἰρήνην ἐφ᾽ ᾧ τά τε μακρὰ
τείχη καὶ τὸν Πειραιᾶ καθελόντας καὶ τὰς ναῦς πλὴν
δώδεκα παραδόντας καὶ τοὺς φυγάδας καθέντας τὸν
αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας Λακεδαιμονίοις
ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὅποι ἂν
ἡγῶνται. Θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ πρέσβεις 21
ἐπανέφερον ταῦτα εἰς τὰς Ἀθήνας. εἰσιόντας δ᾽ αὐ-
τοὺς ὄχλος περιεχεῖτο πολύς, φοβούμενοι μὴ ἄπρακτοι
ἥκοιεν· οὐ γὰρ ἔτι ἐνεχώρει μέλλειν διὰ τὸ πλῆθος
τῶν ἀπολλυμένων τῷ λιμῷ. τῇ δὲ ὑστεραίᾳ ἀπήγ- 22
γελλον οἱ πρέσβεις ἐφ᾽ οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο
τὴν εἰρήνην· προηγόρει δὲ αὐτῶν Θηραμένης, λέγων
ὡς χρὴ πείθεσθαι Λακεδαιμονίοις καὶ τὰ τείχη περι-
αιρεῖν. ἀντειπόντων δέ τινων αὐτῷ, πολὺ δὲ πλειόνων
συνεπαινεσάντων, ἔδοξε δέχεσθαι τὴν εἰρήνην. μετὰ 23
δὲ ταῦτα Λύσανδρός τε κατέπλει εἰς τὸν Πειραιᾶ καὶ
οἱ φυγάδες κατῇσαν καὶ τὰ τείχη κατέσκαπτον ὑπ᾽
αὐλητρίδων πολλῇ προθυμίᾳ, νομίζοντες ἐκείνην τὴν
ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας.

III.
11 Οἱ δὲ τριάκοντα ᾑρέθησαν μὲν ἐπεὶ τάχιστα τὰ
μακρὰ τείχη καὶ τὰ περὶ τὸν Πειραιᾶ καθῃρέθη·
αἱρεθέντες δὲ ἐφ᾽ ᾧτε συγγράψαι νόμους, καθ᾽ οὕσ-
τινας πολιτεύσοιντο, τούτους μὲν ἀεὶ ἔμελλον συγ-
γράφειν τε καὶ ἀποδεικνύναι, βουλὴν δὲ καὶ τὰς ἄλλας
12 ἀρχὰς κατέστησαν ὡς ἐδόκει αὐτοῖς. ἔπειτα πρῶτον
μὲν οὓς πάντες ᾔδεσαν ἐν τῇ δημοκρατίᾳ ἀπὸ συκο-
φαντίας ζῶντας καὶ τοῖς καλοῖς κἀγαθοῖς βαρεῖς ὄν-
τας, συλλαμβάνοντες ὑπῆγον θανάτου· καὶ ἥ τε βουλὴ
ἡδέως αὐτῶν κατεψηφίζετο οἵ τε ἄλλοι ὅσοι συν-
ῄδεσαν ἑαυτοῖς μὴ ὄντες τοιοῦτοι οὐδὲν ἤχθοντο.
13 ἐπεὶ δὲ ἤρξαντο βουλεύεσθαι ὅπως ἂν ἐξείη αὐτοῖς
τῇ πόλει χρῆσθαι ὅπως βούλοιντο, ἐκ τούτου πρῶτον
μὲν πέμψαντες εἰς Λακεδαίμονα Αἰσχίνην τε καὶ
Ἀριστοτέλην ἔπεισαν Λύσανδρον φρουροὺς σφίσι συμ-
πρᾶξαι ἐλθεῖν, ἕως δὴ τοὺς πονηροὺς ἐκποδὼν ποι-
ησάμενοι καταστήσαιντο τὴν πολιτείαν· θρέψειν δὲ
14 αὐτοὶ ὑπισχνοῦντο. ὁ δὲ πεισθεὶς τούς τε φρουροὺς
καὶ Καλλίβιον ἁρμοστὴν συνέπραξεν αὐτοῖς πεμφθῆ-
ναι. οἱ δ᾽ ἐπεὶ τὴν φρουρὰν ἔλαβον, τὸν μὲν Καλλί-
βιον ἐθεράπευον πάσῃ θεραπείᾳ, ὡς πάντα ἐπαινοίη
ἃ πράττοιεν, τῶν δὲ φρουρῶν τούτου συμπέμποντος
αὐτοῖς οὓς ἐβούλοντο συνελάμβανον, οὐκέτι τοὺς πο-
νηρούς τε καὶ ὀλίγου ἀξίους, ἀλλ᾽ ἤδη οὓς ἐνόμιζον
ἥκιστα μὲν παρωθουμένους ἀνέχεσθαι, ἀντιπράττειν
δέ τι ἐπιχειροῦντας πλείστους ἂν τοὺς συνεθέλοντας
15 λαμβάνειν. τῷ μὲν οὖν πρώτῳ χρόνῳ ὁ Κριτίας
τῷ Θηραμένει ὁμογνώμων τε καὶ φίλος ἦν· ἐπεὶ δὲ
αὐτὸς μὲν προπετὴς ἦν ἐπὶ τὸ πολλοὺς ἀποκτείνειν,
ἅτε καὶ φυγὼν ὑπὸ τοῦ δήμου, ὁ δὲ Θηραμένης



ἀντέκοπτε, λέγων ὅτι οὐκ εἰκὸς εἴη θανατοῦν, εἴ τις
ἐτιμᾶτο ὑπὸ τοῦ δήμου, τοὺς δὲ καλοὺς κἀγαθοὺς
μηδὲν κακὸν ἠργάζετο· ἐπεὶ καὶ ἐγώ, ἔφη, καὶ σὺ
πολλὰ δὴ τοῦ ἀρέσκειν ἕνεκα τῇ πόλει καὶ εἴπομεν
καὶ ἐπράξαμεν· ὁ δέ (ἔτι γὰρ οἰκείως ἐχρῆτο τῷ 16
Θηραμένει) ἀντέλεγεν ὅτι οὐκ ἐγχωροίη τοῖς πλεο-
νεκτεῖν βουλομένοις μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς
ἱκανωτάτους διακωλύειν· εἰ δέ, ὅτι τριάκοντά ἐσμεν
καὶ οὐχ εἷς, ἧττόν τι οἴει τυραννίδος ταύτης τῆς
ἀρχῆς χρῆναι ἐπιμελεῖσθαι, εὐήθης εἶ. ἐπεὶ δὲ ἀπο- 17
θνῃσκόντων πολλῶν καὶ ἀδίκως πολλοὶ δῆλοι ἦσαν
συνιστάμενοί τε καὶ θαυμάζοντες τί ἔσοιτο ἡ πολιτεία,
πάλιν ἔλεγεν ὁ Θηραμένης ὅτι εἰ μή τις κοινωνοὺς
ἱκανοὺς λήψοιτο τῶν πραγμάτων, ἀδύνατον ἔσοιτο
τὴν ὀλιγαρχίαν διαμένειν. ἐκ τούτου μέντοι Κριτίας 18
καὶ οἱ ἄλλοι τριάκοντα, ἤδη φοβούμενοι καὶ οὐχ
ἥκιστα τὸν Θηραμένην, μὴ συρρυείησαν πρὸς αὐτὸν
οἱ πολῖται, καταλέγουσι τρισχιλίους τοὺς μεθέξοντας
δὴ τῶν πραγμάτων· ὁ δ᾽ αὖ Θηραμένης καὶ πρὸς 19
ταῦτα ἔλεγεν ὅτι ἄτοπον δοκοίη ἑαυτῷ γε εἶναι πρῶ-
τον μὲν τὸ βουλομένους τοὺς βελτίστους τῶν πολιτῶν
κοινωνοὺς ποιήσασθαι εἶτα ποιήσασθαι τρισχιλίους,
ὥσπερ τὸν ἀριθμὸν τοῦτον ἔχοντά τινα ἀνάγκην κα-
λοὺς καὶ ἀγαθοὺς εἶναι, καὶ οὔτ᾽ ἔξω τούτων σπου-
δαίους οὔτ᾽ ἐντὸς τούτων πονηροὺς οἷόν τε γενέσθαι·
ἔπειτα δ᾽, ἔφη, ὁρῶ ἔγωγε δύο ἡμᾶς τὰ ἐναντιώτατα
πράττοντας, βιαίαν τε τὴν ἀρχὴν καὶ ἥττονα τῶν
ἀρχομένων κατασκευαζομένους. ὁ μὲν ταῦτ᾽ ἔλεγεν· 20
οἱ δ᾽ ἐξέτασιν ποιήσαντες τῶν μὲν τρισχιλίων ἐν τῇ
ἀγορᾷ, τῶν δ᾽ ἔξω τοῦ καταλόγου ἄλλων ἀλλαχοῦ,

ἔπειτα κελεύσαντες ἐπὶ τὰ ὅπλα, ἐν ᾧ ἐκεῖνοι ἀπεληλύθεσαν πέμψαντες τοὺς φρουροὺς καὶ τῶν πολιτῶν τοὺς ὁμογνώμονας αὐτοῖς τὰ ὅπλα πάντων πλὴν τῶν τρισχιλίων παρείλοντο, καὶ ἀνακομίσαντες ταῦτα εἰς
21 τὴν ἀκρόπολιν συνέθηκαν ἐν τῷ ναῷ. τούτων δὲ
γενομένων, ὡς ἐξὸν ἤδη ποιεῖν αὐτοῖς ὅ,τι βούλοιντο, πολλοὺς μὲν ἔχθρας ἕνεκα ἀπέκτεινον, πολλοὺς δὲ χρημάτων. ἔδοξε δ' αὐτοῖς, ὅπως ἔχοιεν καὶ τοῖς φρουροῖς χρήματα διδόναι, καὶ τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν, καὶ αὐτοὺς μὲν ἀποκτεῖναι, τὰ δὲ
22 χρήματα αὐτῶν ἀποσημήνασθαι. ἐκέλευον δὲ καὶ
τὸν Θηραμένην λαβεῖν ὅντινα βούλοιτο. ὁ δ' ἀπεκρίνατο· Ἀλλ' οὐ δοκεῖ μοι, ἔφη, καλὸν εἶναι φάσκοντας βελτίστους εἶναι ἀδικώτερα τῶν συκοφαντῶν ποιεῖν. ἐκεῖνοι μὲν γὰρ παρ' ὧν χρήματα λαμβάνοιεν ζῆν εἴων, ἡμεῖς δὲ ἀποκτενοῦμεν μηδὲν ἀδικοῦντας, ἵνα χρήματα λαμβάνωμεν; πῶς οὐ ταῦτα τῷ παντὶ ἐκεί-
23 νων ἀδικώτερα; οἱ δ' ἐμποδὼν νομίζοντες αὐτὸν
εἶναι τῷ ποιεῖν ὅ,τι βούλοιντο, ἐπιβουλεύουσιν αὐτῷ, καὶ ἰδίᾳ πρὸς τοὺς βουλευτὰς ἄλλος πρὸς ἄλλον διέβαλλον ὡς λυμαινόμενον τὴν πολιτείαν. καὶ παραγγείλαντες νεανίσκοις οἳ ἐδόκουν αὐτοῖς θρασύτατοι εἶναι ξιφίδια ὑπὸ μάλης ἔχοντας παραγενέσθαι, συν-
24 έλεξαν τὴν βουλήν. ἐπεὶ δὲ ὁ Θηραμένης παρῆν,
ἀναστὰς ὁ Κριτίας ἔλεξεν ὧδε.

Ὦ ἄνδρες βουλευταί, εἰ μέν τις ὑμῶν νομίζει πλείονας τοῦ καιροῦ ἀποθνήσκειν, ἐννοησάτω ὅτι ὅπου πολιτεῖαι μεθίστανται πανταχοῦ ταῦτα γίγνεται· πλείστους δὲ ἀνάγκη ἐνθάδε πολεμίους εἶναι τοῖς εἰς ὀλιγαρχίαν μεθιστᾶσι διά τε τὸ πολυανθρωποτάτην τῶν



Ἑλληνίδων τὴν πόλιν εἶναι καὶ διὰ τὸ πλεῖστον χρόνον
ἐν ἐλευθερίᾳ τὸν δῆμον τεθράφθαι. ἡμεῖς δὲ γνόν- 25
τες μὲν τοῖς οἵοις ἡμῖν τε καὶ ὑμῖν χαλεπὴν πολιτείαν εἶναι δημοκρατίαν, γνόντες δὲ ὅτι Λακεδαιμονίοις τοῖς περισώσασιν ἡμᾶς ὁ μὲν δῆμος οὔποτ' ἂν φίλος γένοιτο, οἱ δὲ βέλτιστοι ἀεὶ ἂν πιστοὶ διατελοῖεν, διὰ ταῦτα σὺν τῇ Λακεδαιμονίων γνώμῃ τήνδε τὴν πολι-
τείαν καθίσταμεν. καὶ ἐάν τινα αἰσθανώμεθα ἐναν- 26
τίον τῇ ὀλιγαρχίᾳ, ὅσον δυνάμεθα ἐκποδὼν ποιούμεθα· πολὺ δὲ μάλιστα δοκεῖ ἡμῖν δίκαιον εἶναι, εἴ τις ἡμῶν αὐτῶν λυμαίνεται ταύτῃ τῇ καταστάσει,
δίκην αὐτὸν διδόναι. νῦν οὖν αἰσθανόμεθα Θηρα- 27
μένην τουτονὶ οἷς δύναται ἀπολλύντα ἡμᾶς τε καὶ ὑμᾶς. ὡς δὲ ταῦτα ἀληθῆ, ἢν κατανοῆτε, εὑρήσετε οὔτε ψέγοντα οὐδένα μᾶλλον Θηραμένους τουτουὶ τὰ παρόντα οὔτε ἐναντιούμενον, ὅταν τινὰ ἐκποδὼν βουλώμεθα ποιήσασθαι τῶν δημαγωγῶν. εἰ μὲν τοίνυν ἐξ ἀρχῆς ταῦτα ἐγίγνωσκε, πολέμιος μὲν ἂν ἦν, οὐ
μέντοι πονηρός γ' ἂν δικαίως ἐνομίζετο· νῦν δὲ αὐ- 28
τὸς μὲν ἄρξας τῆς πρὸς Λακεδαιμονίους πίστεως καὶ φιλίας, αὐτὸς δὲ τῆς τοῦ δήμου καταλύσεως, μάλιστα δὲ ἐξορμήσας ὑμᾶς τοῖς πρώτοις ὑπαγομένοις εἰς ὑμᾶς δίκην ἐπιτιθέναι, νῦν ἐπεὶ καὶ ὑμεῖς καὶ ἡμεῖς φανερῶς ἐχθροὶ τῷ δήμῳ γεγενήμεθα, οὐκέτ' αὐτῷ τὰ γιγνόμενα ἀρέσκει, ὅπως αὐτὸς μὲν αὖ ἐν τῷ ἀσφαλεῖ καταστῇ, ἡμεῖς δὲ δίκην δῶμεν τῶν πεπρα-
γμένων. ὥστε οὐ μόνον ὡς ἐχθρῷ αὐτῷ προσήκει 29
ἀλλὰ καὶ ὡς προδότῃ ὑμῶν τε καὶ ἡμῶν διδόναι τὴν δίκην. καίτοι τοσούτῳ μὲν δεινότερον προδοσία πολέμου, ὅσῳ χαλεπώτερον φυλάξασθαι τὸ ἀφανὲς

τοῦ φανεροῦ, τοσούτῳ δ' ἔχθιον, ὅσῳ πολεμίοις μὲν
ἄνθρωποι καὶ σπένδονται καὶ αὖθις πιστοὶ γίγνονται,
ὃν δ' ἂν προδιδόντα λαμβάνωσι, τούτῳ οὔτε ἐσπεί-
30 σατο πώποτε οὐδεὶς οὔτ' ἐπίστευσε τοῦ λοιποῦ. ἵνα
δὲ εἰδῆτε ὅτι οὐ καινὰ ταῦτα οὗτος ποιεῖ, ἀλλὰ φύσει
προδότης ἐστίν, ἀναμνήσω ὑμᾶς τὰ τούτῳ πεπρα-
γμένα. οὗτος γὰρ ἐξ ἀρχῆς μὲν τιμώμενος ὑπὸ τοῦ
δήμου κατὰ τὸν πατέρα Ἅγνωνα, προπετέστατος ἐγέ-
νετο τὴν δημοκρατίαν μεταστῆσαι εἰς τοὺς τετρα-
κοσίους, καὶ ἐπρώτευεν ἐν ἐκείνοις. ἐπεὶ δ' ᾔσθετο
ἀντίπαλόν τι τῇ ὀλιγαρχίᾳ συνιστάμενον, πρῶτος αὖ
31 ἡγεμὼν τῷ δήμῳ ἐπ' ἐκείνους ἐγένετο· ὅθεν δήπου
καὶ κόθορνος ἐπικαλεῖται. δεῖ δέ, ὦ Θηράμενες, ἄν-
δρα τὸν ἄξιον ζῆν οὐ προάγειν μὲν δεινὸν εἶναι εἰς
πράγματα τοὺς συνόντας, ἢν δέ τι ἀντικόπτῃ, εὐθὺς
μεταβάλλεσθαι, ἀλλ' ὥσπερ ἐν νηὶ διαπονεῖσθαι, ἕως
ἂν εἰς ὅρμον καταστῶσιν· εἰ δὲ μή, πῶς ἂν ἀφίκοιντό
ποτε ἔνθα δεῖ, εἰ ἐπειδάν τι ἀντικόψῃ, εὐθὺς εἰς
32 τἀναντία πλέοιεν; καὶ εἰσὶ μὲν δήπου πᾶσαι μετα-
βολαὶ πολιτειῶν θανατηφόροι, σὺ δὲ διὰ τὸ εὐμετά-
βολος εἶναι πλείστοις μὲν μεταίτιος εἶ ἐξ ὀλιγαρχίας
ὑπὸ τοῦ δήμου ἀπολωλέναι, πλείστοις δ' ἐκ δημο-
κρατίας ὑπὸ τῶν βελτιόνων. οὗτος δέ τοί ἐστιν ὃς
καὶ ταχθεὶς ἀνελέσθαι ὑπὸ τῶν στρατηγῶν τοὺς κατα-
δύντας Ἀθηναίων ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ αὐτὸς
οὐκ ἀνελόμενος ὅμως τῶν στρατηγῶν κατηγορῶν
33 ἀπέκτεινεν αὐτούς, ἵνα αὐτὸς περισωθείη. ὅστις γε
μὴν φανερός ἐστι τοῦ μὲν πλεονεκτεῖν ἀεὶ ἐπιμελό-
μενος, τοῦ δὲ καλοῦ καὶ τῶν φίλων μηδὲν ἐντρεπό-
μενος, πῶς τούτου χρή ποτε φείσασθαι; πῶς δὲ οὐ



φυλάξασθαι, εἰδότας αὐτοῦ τὰς μεταβολάς, ὡς μὴ
καὶ ἡμᾶς ταὐτὸ δυνασθῇ ποιῆσαι; ἡμεῖς οὖν τοῦτον
ὑπάγομεν καὶ ὡς ἐπιβουλεύοντα καὶ ὡς προδιδόντα
ἡμᾶς τε καὶ ὑμᾶς. ὡς δ' εἰκότα ποιοῦμεν, καὶ τάδ'
ἐννοήσατε. καλλίστη μὲν γὰρ δήπου δοκεῖ πολιτεία 34
εἶναι ἡ Λακεδαιμονίων· εἰ δ' ἐκεῖ ἐπιχειρήσειέ τις
τῶν ἐφόρων ἀντὶ τοῦ τοῖς πλείοσι πείθεσθαι ψέγειν
τε τὴν ἀρχὴν καὶ ἐναντιοῦσθαι τοῖς πραττομένοις, οὐκ
ἂν οἴεσθε αὐτὸν καὶ ὑπ' αὐτῶν τῶν ἐφόρων καὶ ὑπὸ
τῆς ἄλλης ἁπάσης πόλεως τῆς μεγίστης τιμωρίας
ἀξιωθῆναι; καὶ ὑμεῖς οὖν, ἐὰν σωφρονῆτε, οὐ τούτου
ἀλλ' ὑμῶν αὐτῶν φείσεσθε, ὡς οὗτος σωθεὶς μὲν
πολλοὺς ἂν μέγα φρονεῖν ποιήσειε τῶν ἐναντία γιγνω-
σκόντων ἡμῖν, ἀπολόμενος δὲ πάντων καὶ τῶν ἐν τῇ
πόλει καὶ τῶν ἔξω ὑποτέμοι ἂν τὰς ἐλπίδας.

Ὁ μὲν ταῦτ' εἰπὼν ἐκαθέζετο· Θηραμένης δὲ 35
ἀναστὰς ἔλεξεν· Ἀλλὰ πρῶτον μὲν μνησθήσομαι, ὦ
ἄνδρες, ὃ τελευταῖον κατ' ἐμοῦ εἶπε. φησὶ γάρ με
τοὺς στρατηγοὺς ἀποκτεῖναι κατηγοροῦντα. ἐγὼ δὲ
οὐκ ἦρχον δήπου τοῦ κατ' ἐκείνων λόγου, ἀλλ' ἐκεῖ-
νοι ἔφασαν προσταχθέν μοι ὑφ' ἑαυτῶν οὐκ ἀνελέ-
σθαι τοὺς δυστυχοῦντας ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ.
ἐγὼ δὲ ἀπολογούμενος ὡς διὰ τὸν χειμῶνα οὐδὲ
πλεῖν, μὴ ὅτι ἀναιρεῖσθαι τοὺς ἄνδρας δυνατὸν ἦν,
ἔδοξα τῇ πόλει εἰκότα λέγειν, ἐκεῖνοι δ' ἑαυτῶν κατ-
ηγορεῖν ἐφαίνοντο. φάσκοντες γὰρ οἷόν τε εἶναι σῶσαι
τοὺς ἄνδρας, προέμενοι αὐτοὺς ἀπολέσθαι ἀποπλέοντες
ᾤχοντο. οὐ μέντοι θαυμάζω γε τὸ Κριτίαν παρανε- 36
νομικέναι· ὅτε γὰρ ταῦτα ἦν, οὐ παρὼν ἐτύγχανεν,
ἀλλ' ἐν Θετταλίᾳ μετὰ Προμηθέως δημοκρατίαν

κατεσκεύαζε καὶ τοὺς πενέστας ὥπλιζεν ἐπὶ τοὺς δε-
37 σπότας. ὧν μὲν οὖν οὗτος ἐκεῖ ἔπραττε, μηδὲν ἐν-
θάδε γένοιτο· τάδε γε μέντοι ὁμολογῶ ἐγὼ τούτῳ,
εἴ τις ὑμᾶς μὲν τῆς ἀρχῆς βούλεται παῦσαι, τοὺς δ'
ἐπιβουλεύοντας ὑμῖν ἰσχυροὺς ποιεῖ, δίκαιον εἶναι τῆς
μεγίστης αὐτὸν τιμωρίας τυγχάνειν· ὅστις μέντοι ὁ
ταῦτα πράττων ἐστίν, οἴομαι ἂν ὑμᾶς κάλλιστα κρί-
νειν, τά τε πεπραγμένα καὶ ἃ νῦν πράττει ἕκαστος
38 ἡμῶν εἰ κατανοήσετε. οὐκοῦν μέχρι μὲν τοῦ ὑμᾶς
τε καταστῆναι εἰς τὴν βουλείαν καὶ ἀρχὰς ἀποδει-
χθῆναι καὶ τοὺς ὁμολογουμένως συκοφάντας ὑπάγε-
σθαι πάντες ταὐτὰ ἐγιγνώσκομεν· ἐπεὶ δέ γε οὗτοι
ἤρξαντο ἄνδρας καλούς τε κἀγαθοὺς συλλαμβάνειν,
ἐκ τούτου κἀγὼ ἠρξάμην τἀναντία τούτοις γιγνώσκειν.
39 ᾔδειν γὰρ ὅτι ἀποθνῄσκοντος μὲν Λέοντος τοῦ Σαλα-
μινίου, ἀνδρὸς καὶ ὄντος καὶ δοκοῦντος ἱκανοῦ εἶναι,
ἀδικοῦντος δ' οὐδὲ ἕν, οἱ ὅμοιοι τούτῳ φοβήσοιντο,
φοβούμενοι δὲ ἐναντίοι τῇδε τῇ πολιτείᾳ ἔσοιντο·
ἐγίγνωσκον δὲ ὅτι συλλαμβανομένου Νικηράτου τοῦ
Νικίου, καὶ πλουσίου καὶ οὐδὲν πώποτε δημοτικὸν
οὔτε αὐτοῦ οὔτε τοῦ πατρὸς πράξαντος, οἱ τούτῳ
40 ὅμοιοι δυσμενεῖς ἡμῖν γενήσοιντο. ἀλλὰ μὴν καὶ Ἀν-
τιφῶντος ὑφ' ἡμῶν ἀπολλυμένου, ὃς ἐν τῷ πολέμῳ
δύο τριήρεις εὖ πλεούσας παρείχετο, ἠπιστάμην ὅτι
καὶ οἱ πρόθυμοι τῇ πόλει γεγενημένοι πάντες ὑπό-
πτως ἡμῖν ἕξοιεν. ἀντεῖπον δὲ καὶ ὅτε τῶν μετοίκων
ἕνα ἕκαστον λαβεῖν ἔφασαν χρῆναι· εὔδηλον γὰρ ἦν
ὅτι τούτων ἀπολομένων καὶ οἱ μέτοικοι ἅπαντες πο-
41 λέμιοι τῇ πολιτείᾳ ἔσοιντο. ἀντεῖπον δὲ καὶ ὅτε τὰ
ὅπλα τοῦ πλήθους παρῃροῦντο, οὐ νομίζων χρῆναι



ἀσθενῆ τὴν πόλιν ποιεῖν· οὐδὲ γὰρ τοὺς Λακεδαιμο-
νίους ἑώρων τούτου ἕνεκα βουλομένους περισῶσαι
ἡμᾶς, ὅπως ὀλίγοι γενόμενοι μηδὲν δυναίμεθ' αὐτοὺς
ὠφελεῖν· ἐξῆν γὰρ αὐτοῖς, εἰ τούτου γ' ἐδέοντο, καὶ
μηδένα λιπεῖν ὀλίγον ἔτι χρόνον τῷ λιμῷ πιέσαντας.
οὐδέ γε τὸ φρουροὺς μισθοῦσθαι συνήρεσκέ μοι, ἐξὸν 42
αὐτῶν τῶν πολιτῶν τοσούτους προσλαμβάνειν, ἕως
ῥᾳδίως ἐμέλλομεν οἱ ἄρχοντες τῶν ἀρχομένων κρα-
τήσειν. ἐπεί γε μὴν πολλοὺς ἑώρων ἐν τῇ πόλει τῇ
ἀρχῇ τῇδε δυσμενεῖς, πολλοὺς δὲ φυγάδας γιγνο-
μένους, οὐκ αὖ ἐδόκει μοι οὔτε Θρασύβουλον οὔτε
Ἄνυτον οὔτε Ἀλκιβιάδην φυγαδεύειν· ᾔδειν γὰρ ὅτι
οὕτω γε τὸ ἀντίπαλον ἰσχυρὸν ἔσοιτο, εἰ τῷ μὲν
πλήθει ἡγεμόνες ἱκανοὶ προσγενήσοιντο, τοῖς δ' ἡγεῖ-
σθαι βουλομένοις σύμμαχοι πολλοὶ φανήσοιντο. ὁ 43
ταῦτα οὖν νουθετῶν ἐν τῷ φανερῷ πότερα εὐμενὴς
ἂν δικαίως ἢ προδότης νομίζοιτο; οὐχ οἱ ἐχθρούς,
ὦ Κριτία, κωλύοντες πολλοὺς ποιεῖσθαι, οὐδ' οἱ συμ-
μάχους πλείστους διδάσκοντες κτᾶσθαι, οὐχ οὗτοι
τοὺς πολεμίους ἰσχυροὺς ποιοῦσιν, ἀλλὰ πολὺ μᾶλλον
οἱ ἀδίκως τε χρήματα ἀφαιρούμενοι καὶ τοὺς οὐδὲν
ἀδικοῦντας ἀποκτείνοντες, οὗτοί εἰσιν οἱ καὶ πολλοὺς
τοὺς ἐναντίους ποιοῦντες καὶ προδιδόντες οὐ μόνον
τοὺς φίλους ἀλλὰ καὶ ἑαυτούς. εἰ δὲ μὴ ἄλλως γνω- 44
στὸν ὅτι ἀληθῆ λέγω, ὧδε ἐπισκέψασθε. πότερον
οἴεσθε Θρασύβουλον καὶ Ἄνυτον καὶ τοὺς ἄλλους
φυγάδας ἃ ἐγὼ λέγω μᾶλλον ἂν ἐνθάδε βούλεσθαι
γίγνεσθαι ἢ ἃ οὗτοι πράττουσιν; ἐγὼ μὲν γὰρ οἶμαι
νῦν μὲν αὐτοὺς νομίζειν συμμάχων πάντα μεστὰ
εἶναι, εἰ δὲ τὸ κράτιστον τῆς πόλεως προσφιλῶς ἡμῖν

εἶχε, χαλεπὸν ἂν ἡγεῖσθαι εἶναι καὶ τὸ ἐπιβαίνειν ποι
45 τῆς χώρας. ἃ δ' αὖ εἶπεν ὡς ἐγώ εἰμι οἷος ἀεί ποτε
μεταβάλλεσθαι, κατανοήσατε καὶ ταῦτα. τὴν μὲν γὰρ
ἐπὶ τῶν τετρακοσίων πολιτείαν καὶ αὐτὸς δήπου ὁ
δῆμος ἐψηφίσατο, διδασκόμενος ὡς οἱ Λακεδαιμόνιοι
πάσῃ πολιτείᾳ μᾶλλον ἂν ἢ δημοκρατίᾳ πιστεύσειαν.
46 ἐπεὶ δέ γε ἐκεῖνοι μὲν οὐδὲν ἀνίεσαν, οἱ δὲ ἀμφὶ
Ἀριστοτέλην καὶ Μελάνθιον καὶ Ἀρίσταρχον στρα-
τηγοῦντες φανεροὶ ἐγένοντο ἐπὶ τῷ χώματι ἔρυμα
τειχίζοντες, εἰς ὃ ἐβούλοντο τοὺς πολεμίους δεξάμενοι
ὑφ' αὑτοῖς καὶ τοῖς ἑταίροις τὴν πόλιν ποιήσασθαι,
εἰ ταῦτ' αἰσθόμενος ἐγὼ διεκώλυσα, τοῦτ' ἐστὶ προ-
47 δότην εἶναι τῶν φίλων; ἀποκαλεῖ δὲ κόθορνόν με,
ὡς ἀμφοτέροις πειρώμενον ἁρμόττειν. ὅστις δὲ μη-
δετέροις ἀρέσκει, τοῦτον ὦ πρὸς τῶν θεῶν τί ποτε
καὶ καλέσαι χρή; σὺ γὰρ δὴ ἐν μὲν τῇ δημοκρατίᾳ
πάντων μισοδημότατος ἐνομίζου, ἐν δὲ τῇ ἀριστο-
48 κρατίᾳ πάντων μισοχρηστότατος γεγένησαι. ἐγὼ δ',
ὦ Κριτία, ἐκείνοις μὲν ἀεί ποτε πολεμῶ τοῖς οὐ πρό-
σθεν οἰομένοις καλὴν ἂν δημοκρατίαν εἶναι, πρὶν καὶ
οἱ δοῦλοι καὶ οἱ δι' ἀπορίαν δραχμῆς ἂν ἀποδόμενοι
τὴν πόλιν αὐτῆς μετέχοιεν, καὶ τοῖσδέ γ' αὖ ἀεὶ ἐναν-
τίος εἰμὶ οἳ οὐκ οἴονται καλὴν ἂν ἐγγενέσθαι ὀλιγ-
αρχίαν, πρὶν εἰς τὸ ὑπ' ὀλίγων τυραννεῖσθαι τὴν πόλιν
καταστήσειαν. τὸ μέντοι σὺν τοῖς δυναμένοις καὶ μεθ'
ἵππων καὶ μετ' ἀσπίδων ὠφελεῖν διατάττειν τὴν πολι-
τείαν πρόσθεν τ' ἄριστον ἡγούμην εἶναι καὶ νῦν οὐ
49 μεταβάλλομαι. εἰ δ' ἔχεις εἰπεῖν, ὦ Κριτία, ὅπου
ἐγὼ σὺν τοῖς δημοτικοῖς ἢ τυραννικοῖς τοὺς καλούς
τε κἀγαθοὺς ἀποστερεῖν πολιτείας ἐπεχείρησα, λέγε·



ἐὰν γὰρ ἐλεγχθῶ ἢ νῦν ταῦτα πράττων ἢ πρότερον
πώποτε πεποιηκώς, ὁμολογῶ τὰ πάντων ἔσχατα πα-
θὼν ἂν δικαίως ἀποθνήσκειν.

Ὡς δὲ εἰπὼν ταῦτα ἐπαύσατο, καὶ ἡ βουλὴ δήλη 50
ἐγένετο εὐμενῶς ἐπιθορυβήσασα, γνοὺς ὁ Κριτίας ὅτι
εἰ ἐπιτρέψοι τῇ βουλῇ διαψηφίζεσθαι περὶ αὐτοῦ,
ἀποφεύξοιτο, καὶ τοῦτο οὐ βιωτὸν ἡγησάμενος, προσ-
ελθὼν καὶ διαλεχθείς τι τοῖς τριάκοντα ἐξῆλθε, καὶ
ἐπιστῆναι ἐκέλευσε τοὺς τὰ ἐγχειρίδια ἔχοντας φανε-
ρῶς τῇ βουλῇ ἐπὶ τοῖς δρυφάκτοις. πάλιν δὲ εἰσελθὼν 51
εἶπεν· Ἐγώ, ὦ βουλή, νομίζω προστάτου ἔργον εἶναι
οἵου δεῖ, ὃς ἂν ὁρῶν τοὺς φίλους ἐξαπατωμένους
μὴ ἐπιτρέπῃ. καὶ ἐγὼ οὖν τοῦτο ποιήσω. καὶ γὰρ
οἵδε οἱ ἐφεστηκότες οὔ φασιν ἡμῖν ἐπιτρέψειν, εἰ ἀν-
ήσομεν ἄνδρα τὸν φανερῶς τὴν ὀλιγαρχίαν λυμαινό-
μενον. ἔστι δὲ ἐν τοῖς καινοῖς νόμοις τῶν μὲν ἐν
τοῖς τρισχιλίοις ὄντων μηδένα ἀποθνήσκειν ἄνευ τῆς
ὑμετέρας ψήφου, τῶν δ' ἔξω τοῦ καταλόγου κυρίους
εἶναι τοὺς τριάκοντα θανατοῦν. ἐγὼ οὖν, ἔφη, Θηρα-
μένην τουτονὶ ἐξαλείφω ἐκ τοῦ καταλόγου, συνδοκοῦν
ἅπασιν ἡμῖν. καὶ τοῦτον, ἔφη, ἡμεῖς θανατοῦμεν.
ἀκούσας ταῦτα ὁ Θηραμένης ἀνεπήδησεν ἐπὶ τὴν 52
ἑστίαν καὶ εἶπεν· Ἐγὼ δ', ἔφη, ὦ ἄνδρες, ἱκετεύω
τὰ πάντων ἐννομώτατα, μὴ ἐπὶ Κριτίᾳ εἶναι ἐξαλεί-
φειν μήτε ἐμὲ μήτε ὑμῶν ὃν ἂν βούληται, ἀλλ' ὅνπερ
νόμον οὗτοι ἔγραψαν περὶ τῶν ἐν τῷ καταλόγῳ, κατὰ
τοῦτον καὶ ὑμῖν καὶ ἐμοὶ τὴν κρίσιν εἶναι. καὶ τοῦτο 53
μέν, ἔφη, μὰ τοὺς θεοὺς οὐκ ἀγνοῶ, ὅτι οὐδέν μοι
ἀρκέσει ὅδε ὁ βωμός, ἀλλὰ βούλομαι καὶ τοῦτο ἐπι-
δεῖξαι, ὅτι οὗτοι οὐ μόνον εἰσὶ περὶ ἀνθρώπους

ἀδικώτατοι, ἀλλὰ καὶ περὶ θεοὺς ἀσεβέστατοι. ὑμῶν
μέντοι, ἔφη, ὦ ἄνδρες καλοὶ κἀγαθοί, θαυμάζω, εἰ
μὴ βοηθήσετε ὑμῖν αὐτοῖς, καὶ ταῦτα γιγνώσκοντες
ὅτι οὐδὲν τὸ ἐμὸν ὄνομα εὐεξαλειπτότερον ἢ τὸ ὑμῶν
54 ἑκάστου. ἐκ δὲ τούτου ἐκάλεσε μὲν ὁ τῶν τριάκοντα
κῆρυξ τοὺς ἕνδεκα ἐπὶ τὸν Θηραμένην· ἐκείνων δὲ
εἰσελθόντων σὺν τοῖς ὑπηρέταις, ἡγουμένου αὐτῶν
Σατύρου τοῦ θρασυτάτου τε καὶ ἀναιδεστάτου, εἶπε
μὲν ὁ Κριτίας· Παραδίδομεν ὑμῖν, ἔφη, Θηραμένην
τουτονὶ κατακεκριμένον κατὰ τὸν νόμον· ὑμεῖς δὲ
λαβόντες καὶ ἀπαγαγόντες οἷ δεῖ τὰ ἐκ τούτων πράτ-
55 τετε. ὡς δὲ ταῦτα εἶπεν, εἷλκε μὲν ἀπὸ τοῦ βωμοῦ
ὁ Σάτυρος, εἷλκον δὲ οἱ ὑπηρέται. ὁ δὲ Θηραμένης
ὥσπερ εἰκὸς καὶ θεοὺς ἐπεκαλεῖτο καὶ ἀνθρώπους
καθορᾶν τὰ γιγνόμενα. ἡ δὲ βουλὴ ἡσυχίαν εἶχεν,
ὁρῶσα καὶ τοὺς ἐπὶ τοῖς δρυφάκτοις ὁμοίους Σατύρῳ
καὶ τὸ ἔμπροσθεν τοῦ βουλευτηρίου πλῆρες τῶν φρου-
ρῶν, καὶ οὐκ ἀγνοοῦντες ὅτι ἐγχειρίδια ἔχοντες παρ-
56 ῆσαν. οἱ δ' ἀπήγαγον τὸν ἄνδρα διὰ τῆς ἀγορᾶς
μάλα μεγάλῃ τῇ φωνῇ δηλοῦντα οἷα ἔπασχε. λέγεται
δὲ ἓν ῥῆμα καὶ τοῦτο αὐτοῦ. ὡς εἶπεν ὁ Σάτυρος
ὅτι οἰμώξοιτο, εἰ μὴ σιωπήσειεν, ἐπήρετο· Ἂν δὲ
σιωπῶ, οὐκ ἄρ', ἔφη, οἰμώξομαι; καὶ ἐπεί γε ἀπο-
θνήσκειν ἀναγκαζόμενος τὸ κώνειον ἔπιε, τὸ λειπό-
μενον ἔφασαν ἀποκοτταβίσαντα εἰπεῖν αὐτόν· Κριτίᾳ
τοῦτ' ἔστω τῷ καλῷ.

## Anmærkninger.

---

**S. 1.** 1. *Δαρείου*] Konge i Persien (med Tilnavnet Nothos, »den uægte«) 424—404. 7. *καὶ — δὲ*] *og — ogsaa.* 8. *Καστωλοῦ πεδίον*] Slette ved Byen *Καστωλός (ἡ)* i Lydien. 13. *διαβάλλει — ὡς*] bagvasker — *med den Paastand, at.*

**S. 2.** 1. *ὑπῆρχε*] *var* (stemt) *for.* 3. *διατιθεὶς*] overs. bedst passivisk: *paavirkede, stemte.* 10. *ὁπόσας*] overs.: *overalt hvor.* 13. *ὡς*] *under det Paaskud, at.* 17. *βουλευομένους*] at *man* —. 24. *οἷ*] se Forml. § 56 b Anm. 1.

**S. 3.** 1. *ἐκ τῶν πόλεων κτλ.*] *fra de T. tilhørende Byer, som han netop havde inde; Τισσαφ.* er styret af *ὧν* (Assimilation istf. *ἃς*), der henviser til *τῶν πόλεων.* 5. *ἠγάσθη*] *incohativt* Aorist: *fik* Beundring for. 16—17. *ὡς — περιγενόμενος ἂν*] = *λέγων, ὅτι — περιγένοιτο ἂν* (potential Optativ). 25. *πράγματα παρέχειν*] volde Bryderier, *forurolige.*

**S. 4.** 5. *ἐνταῦθα (herhen)* hører til *ἥκειν.* 18. *ἐκ τῶν πόλεων*] istf. *ἐν ταῖς πόλεσι.* 25—26. *τῶν — στρατευομένων*] = *τούτων οἳ ἐστρατεύοντο* (Impf. istedenfor Plkpf.).

**S. 5.** 15. *βασίλεια*] *Neutr. Plur.* 17. *βούλοιτο*] *iterativ* (Gentagelsens) Optativ i Bisætninger ved en Hovedsætning i Præteritum. 27. *σοφίας*] *Dygtighed* (i at spille).

**S. 6.** 19—20. *πάλαι — κρύπτειν*] *for længe siden havde vidst dette, men skjult det.* 22. *ἰόντων*] abs. Gen. (*sc. αὐτῶν*) istf. *ἰοῦσιν* henført til *τοῖς — ἀναβᾶσι.*

**S. 7.** 6. *πλέον*] overflødig Gentagelse af det i *προτιμήσεσθε* *(Med. = Pass.)* liggende Begreb: *fremfor.* 11. *αἴτιοι*] *Skyld*

deri. 17. *ἄλλου*] istf. *ἄλλο* ved (»omvendt«) Assimilation med *οὗτινος*; forbindes med *τεύξεσθε*.

**S. 8.** 1. *πλοίοις*] *kun* med —. 3. *ἐδόκει δὴ θεῖον (en guddommelig Styrelse) εἶναι καὶ — ὑποχωρῆσαι τὸν π.*] Forbindelse af enkelt Infin. og Akk. m. Inf. 13. *ἄλλο*] overs.: *ellers*. 14. *ἦσαν*] mærk Tallet. 22. *διαστάντες*] opstillede *med Mellemrum*. 26. *ἀπέσπα*] *intr.*: *fjærnede sig*. 27. *αἴρουσα*] overs.: *løftede*.

**S. 9.** 17. *δύναται*] *gælder*. 20. *ἦν* (istf. *ἦσαν*) — *οὓς*] eg. der var nogle, som ɔ: *nogle (= ἐνίους)*. 26. *τοῦ β. στρατοῦ*] part. Gen.: *nogle af* —. 29. *μέρος τι*] *et Træk*.

**S. 10.** 2. *ἂν δράμοι τις*] ɔ: *det gjaldt*. *καὶ μάλα*] hører til *πρανοῦς*. 7. *ἂν ᾤετο*] *skulde have troet (crederet)*. 8. *ὡς*] overflødigt. 12—13. *μαχεῖσθαι — συναγείρεσθαι* (*Præs.* om den paabegyndte Troppesamling, der fortsættes) — *στράτευμα*] Forbindelse af enkelt Inf. og Akk. m. Inf. 14. *συνιδεῖν — ἦν*] = *δήλη ἦν*, derfor konstr. m. Partic. *οὖσα*. 16. *τῷ* —] *derved, at* —, Akk. m. Inf. substantivisk. 23. *ὡς*] = *ὥστε*. 28. *του*] = *τινός*, styrer *τῶν Μένωνος στρατιωτῶν*.

**S. 11.** 6. *ὀλίγοις τοῖς περὶ αὐτόν*] *kun faa Ledsagere*. 10. *ἄλλος δὲ*] *sc. ἵησι*. 13. *αὐτοῦ*] *Adv*. 19. *καὶ*] *derimod*. 21. *τάξις*] *sc. ἔτυχε*. 24. *αὐτοῦ*] *Κλεάρχου* (= *αὐτοῦ* i 25); *ὀλίγου δέω = er nær ved*.

**S. 12.** 2. *ἐν τῇδε τῇ ἡμέρᾳ*] *før Sol gaar ned*. 6—7. *ἐν ἑαυτῷ ἐγένετο*] *gik i sig selv*. *κατὰ χώραν*] paa *samme* Sted. 16. *εἰ — ὅτι*] = *ὅτι, εἰ*. 23. *νομίσας*] incoh. Aor.: *troende*. *ἑτοίμους*] beredte, *hengivne*. 27. *αὐτὸν*] *Ὀρόνταν*.

**S. 13.** 7—8. *καὶ αὐτῷ — προτιμηθῆναι*] *baade efter sin egen og de andres Mening* (derved) *var blevet foretrukket*. 10. *ἀπόρρητον*] eg. forbudt ɔ: *en Hemmelighed*. 16. *ταχθείς*] = *κελευσθείς*. 17. *ἐπολέμησεν*] incoh. Aor. 18. *αὐτὸν*] overflødigt Objekt for *ἐποίησα (bevirke)*, genoptaget med *τούτῳ*. 21. *ὅ,τι*] (noget), *hvori*. 23. *ἀποστῆναι εἰς*] *undvige til*. 26. *δύναμιν*] ɔ: ringe Magt, *Afmagt*. 29—30. *Τί ἀδικηθεὶς — ἐπιβουλεύων — φανερὸς γέγονας;*] *hvori er Du blevet forurettet, siden det har vist sig, at Du* —.

**S. 14.** 3. *γὰρ*] *ja*, thi. 4. *ἀνάγκη*] *sc. ἐστίν*. 14. *τὸ κατὰ τοῦτον εἶναι*] *saavidt det kommer an paa denne*. —



*ἐθελοντὰς*] *Adj.*; mærk Akcenten. 17. *τῆς ζώνης*] *ved* B. — *ἐπὶ θανάτῳ*] *for at dødsdömme ham*. 25. *εἰδὼς*] *med Sikkerhed*.

**S. 15.** 9. *πῶς — ποιοῖτο*] direkte: *πῶς — ποιῶμαι; (dubitativ* Konj.). 13. *ὅπως — ἔσεσθε*] Opfordring: *vis Eder* —. 14—15. *ἧς — εὐδαιμονίζω*] *som — jeg priser lykkelig for*. 16. *ὧν — πάντων*] = *πάντων, ἃ*. 20. *τὰ ἄλλα — δοκῶ*] *tror jeg forøvrigt, at jeg endog vil komme til at skamme mig over* —. 22. *τῶν ἐμῶν*] *Neutr.*: *mine Sager*. 26. *καὶ μὴν*] *ja, men*. 28. *ἐν τοιούτῳ — τοῦ κινδ.*] (paa et saadant Punkt af ɔ:) *saa nær ved F*. 29—30. *οὐδ' εἰ*] *ikke, selv om*.

**S. 16.** 2. *ἔστι*] *strækker sig*. 3. *οὗ*] *hvor*. 15. *ἐμπιμπλὰς*] nl. *med Forhaabninger*. 19. *πως*] *omtrent*. *γάρ*] i Spörgsmaal = *da*. 24. *ἀσπὶς*] se Forml. § 52 Anm. 4. 29. *ἄλλοι*] *desuden*.

**S. 17.** 6. *ὑστέρησε*] har paa Grund af sin komparative Betydning *Sammenligningsgenetiv* (*til* S.) og *Forskellens Dativ*. 10. *τῶν πολεμίων*] afh. af *οἷ*. 15. *ὀρυκτὴ*] ɔ: *kunstig*. 17. *ἐπὶ*] eg. hen over ɔ: *i en Længde af* —. 29. *ἀπ'*] *för*.

**S. 18.** 5. *ἐκώλυε*] *søgte* at hindre. 10. *τὸ — πολὺ αὐτῷ*] *Störstedelen af hans Hær*. 14. *ἡνίκα*] overs. ved *Adv.* da. 19. *ὡς εἰς μάχην*] (som man er rustet) *til Slag*. 21. *καὶ πάντες δὲ*] *og ogsaa alle andre*. *ἐπιπεσεῖσθαι*] sc. *βασιλέα*.

**S. 19.** 2. *καὶ τὸ Ἑλλην. πελταστικόν*] overs.: *tilligemed* —, da disse Ord ikke som *ἱππεῖς* styrer *τοῦ βαρβαρικοῦ*. 7. *ψιλὴν*] *ubeskyttet*. 12. *ἐγίγνετο*] Impf.: *det led hen paa*. 15. *χαλκός*] *Vaaben*. 21. *ἄλλοι δ'*] *sc. ἦσαν*: *og saa kom der igen*. 23. *ἐπορεύετο*] retter sig i Tal efter den inddelende Apposition *ἕκαστον τὸ ἔθνος*. 24. *δὴ*] *nemlig*. 27. *ὡς*] = *ὥστε, til at*. 28. *ὡς* (som om ɔ: *at*) — *ἐλῶντα*] *sc. τὰ ἅρματα, abs. Akk.*

**S. 20.** 2. *ὡς ἀνυστὸν*] *saavidt* (det var) *muligt*. 5. *ἄγειν*] *at han skulde* —. 6. *τοῦτ'*] ɔ: *her*. 11. *ὅμως*] betegner en Modsætning til den underforstaaede Tanke: Kl. tænkte paa at forandre Stilling. 17. *ἐκ*] *med*. 18. *οὐ πάνυ πρὸς*] *i nogen Afstand fra*. 21. *ὡς = ὥστε*. 22. *ἐπιστήσας*] *sc. τὸν ἵππον*. 26. *ὅς*] se Forml. § 56 a Anm. 29. *Ἀλλὰ*] *naa!*

**S. 21.** 1. *οὐκέτι*] *nu ikke.* 4. *πορευομένων*] sc. *αὐτῶν.* 9. *τόξευμα*] Subjekt. 15. *ἔστιν ὅστις*] *en enkelt.* 17. *οὐδὲ — δὲ*] *og heller ikke.* 22. *οὐδ' ὡς*] se Forml. § 96 Anm. 4. 26. *ἄρχοντες*] *Herskere* (ikke: Generaler); § 22 staar parentetisk. 30. *ἂν — αἰσθάνεσθαι*] *kan erfare.*

**S. 22.** 3. *αὐτοῦ*] afh. af *ἔμπροσθεν.* 13. *σχεδὸν*] *næsten kun.* 20. *μαχόμενοι κτλ.*] et fælles Hovedverbum mangler, da Subjektet deles; overs.: *og her kæmpede —, og hvormange* osv. 24. *ἔκειντο*] *laa dræbte.*

**S. 23.** 13. *ἡμῖν*] *af os.* *γεγενημένους*] *Passiv* til *ποιεῖσθαι.* 18. *τε*] svarer til *οὔτε*, der bortfalder i Overs. 21. *ἤδη*] *i tidligere Tider.* *τοὺς μὲν — ὑποψίας*] oversættes bedst som Appos. til *οἵ.* 24. *ἂν βουλομένους*] (som) *kunde ønske* (*ἂν βούλοιντο*).

**S. 24.** 2. *θεῶν*] *ved G.* 6. *ἀπὸ ποίου — ἀποφύγοι*] *med hvilken H. man skulde flygte for at undgaa.* 7. *ὅπως*] = *ὡς (hvŏr)*, hører til *ἐχυρόν.* 18. *φοβερώτατον*] Neutrum substantivisk: *det f.* 19. *εἰ — δὴ καὶ*] *hvis nu virkelig.* 20. *ἄλλο τι — ἢ*] *mon ikke.* 22. *ἐλπίδων*] *Udsigter.* 28. *πολεμίᾳ ἐχρῆτο*] *havde til Fjende.* 30. *ὅστις*] *saa at.*

**S. 25.** 5. *καὶ Π.*] sc. *λυπηροὺς ὄντας.* 9. *χρησάμενοι*] *med* (smlgn. lat. *usi*). 10. *τῆς — οὔσης*] = *ἢ τῇ — οὔσῃ.* 13. *ἔχων*] = *εἰ ἔχοις.* 18. *τίς*] ɔ: *paa den, som.* 22. *Ἀλλ'*] *jā.* 27. *εἰ — ἐβουλόμεθα*] *si — vellemus.* 29. *ἐν*] *med.* 30. *δὲ*] *medens.* *ἀλλὰ*] *eller.*

**S. 26.** 6. *ταμιεύεσθαι*] begrænse, *bestemme.* 9. *ἀλλὰ*] *saa — dog.* 11—12. *οὐδ' εἰ*] *ikke, selv om.* 17—18. *(ἀπόρων) ἐστὶ*] *det er ejendommeligt for —.* 18—19. *καὶ τούτων*] *og det tilmed.* *οἵτινες ἐθέλουσι*] = *ἐθέλειν.* 22. *τί δὴ*] *hvorfor dog.* *ἐξὸν*] *naar det er muligt*, abs. Akk. 23—24. *ἔρως — τοῦ*] *Lyst til at.* 25. *ᾧ*] *med —.* 27. *τὰ μὲν*] *tildels.*

**S. 27.** 2. *ἔχοι*] sc. *ὀρθήν.* 4. *τοσούτων*] *saa mange Grunde.* 6—7. *Καὶ — γε*] *jo, og.* 19—20. *τῶν Ἑλλήνων*] afh. af *οἵ.* 21. *τιμωρηθῆναι*] sc. *χρῆναι.* 27. *ἔχειν τὴν γνώμην*] *sætte sin Lid.* 30. *κατέτεινεν*] *holdt derpaa.*

**S. 28.** 2. *ὡς εἰς ἀγορὰν*] ɔ: ubevæbnede. 21. *ἦσαν*] *havde været.* 27. *τὰ παρὰ β.*] K.'s *Befalinger.*

**S. 29.** 5. *ἔχει*] *har faaet.* 8. *εἶναί*] sc. *τὰ ὅπλα.*



13. *τοὺς αὐτοὺς*] nl. som vi. 18. *γὰρ*] *jo.* 22. *ἔλυε*] *impf. de conatu.*

**S. 30.** 3. *ὁμολογουμένως*] *som det indrömmes.* 4. *δόξας*] *gjaldt.* 9. *διαπράξασθαι*] *opnaa* (det). 12. *ὄντος*] sc. *αὐτοῦ.* 22. *φέρειν καὶ ἄγειν*] *røve og plyndre fra.* 26. *ἐξὸν*] abs. Akk.: *skönt —.* 28. *ὥστε*] *paa Betingelse af.*

**S. 31.** 6. *ἐκ*] *med.* 7. *κἀκεῖνος*] = *καὶ (nu engang) ἐκεῖνος.* 9. *ἐμποιῆσαι*] *bibringe den Overbevisning.* 13—14. *ἔσθ' ὅτε*] = *ἐνίοτε.* *γνώμῃ*] *af Princip.* 21—22. *τὸ στυγνὸν — αὐτοῦ*] *det mørke Udtryk i hans Ansigt.* *ἐν*] imellem ɔ: *i Modsætning til.* 26. *ἀρξομένους*] *som undergivne.* 29—30. *καὶ γὰρ οὖν*] *derfor — da ogsaa.*

**S. 32.** 3. *ἐχρῆτο, sc. τούτοις*] ɔ: *de var ham.* 4—5. *τὰ — ποιοῦντα*] *de Forhold, der bevirkede.* 14. *θύραι*] *Hovedstad.* 22. *νικῶντες*] = *εἰ νικῷεν;* ligl. 23 *ἡττηθέντων.*

**S. 33.** 1. *τὰ ὅπλα*] *Lejren.* 2. *ἐτύγχανεν*] sc. *ἀναπαυόμενος: det traf sig.* 10. *αὐτὸς*] hører til *νομίζειν.* 11. *κρείττω*] *nyttigere.* 14. *ὑποπτεύειν*] her: *befrygte*; derfor *μή.* 19—21. *τίνι ἂν — θύων — ἔλθοι*] *til hvem — han skulde ofre — for at göre.* 22. *θεοῖς*] omvendt Assimilation istf. *θεούς.* 26. *κρῖναι*] *afgöre.*

**S. 34.** 1. *ὁρμᾶν*] *begynde.* 11. *ἄκοντες*] participielt. 15. *μικρὸν*] *et Øjeblik.* 17. *λάμπεσθαι*] sc. *ἔδοξεν.* 18. *τῇ μὲν*] *paa den ene Side.* 22. *μὴ*] afh. af *ἐφοβεῖτο.* 24. *ὁποῖόν τι*] *hvor betydningsfuldt.* 30. *μὴ οὐχὶ*] overflødigt.

**S. 35.** 4. *ἐξόν*] abs. Akk. *τὸν ἐκ ποίας κτλ.*] *fra hvilken By skal den Feltherre være, som jeg —.* *προσδοκῶ*] = *forventer;* *ἀναμένω*] = *afventer.* 11. *οἶμαι*] *vist.* 16. *μὴν*] *dog.* 18. *καὶ*] endogsaa. 20. *ἡμᾶς*] Subj. til *παθεῖν* 23. — *ἐστρατεύσαμεν*] Subj. *οἳ* underforstaas fra *οἷς.* 23. *ἐπὶ πᾶν ἐλθεῖν*] *göre alt.* 29. *αὐτῶν*] *af* ell. *ved dem* (Sammenhængsgenetiv); oversættes ikke.

**S. 36.** 4. *ὅτου ὠνησόμεθα*] *noget at købe for.* 11. *ἆθλα*] *som Kamppriser.* 16. *ἐξεῖναι*] sc. *ἡμῖν.* 17. *πολὺ*] hører til *μείζονι.* 21. *θνητοὶ*] Verbaladj. til *κτείνω.* 22. *γὰρ*] overs.: *da.* 24. *παρακαλοῦντας*] Fut.

**S. 37.** 1 *καὶ*] *netop.* 6. *ἂν τυχεῖν*] sc. *αὐτούς.* 11. *τούτοις*] afh. af *ταὐτῷ.* 19. *παιόμενοι*] overs. som Hoved-

verbum (*bliver de ikke —*), medens δύνανται underordnes (*uden engang at —*). 20. οἱ τλήμονες] Appos.: *de Stakler*. 23. ἰόντας] ɔ: *ved Afsendinge*. 26. τοιούτῳ] ɔ: σκευοφόρῳ. 30. προσήκει] = μέτεστιν.

**S. 38.** 17. Ἀλλὰ] *ja*. 23. ἐπίστασθε] Imperativ. 24. καιρόν] *Indflydelse*.

**S. 39.** 3. τούτων] kompar. Gen. til Verbet. 11. ὡς συνελόντι εἰπεῖν] abs. Inf.: *for at sige det i Korthed* (egl. sammenfattende). δή] *navnlig*. 14. ἦν κτλ.] Bisætning til ἂν — ποιῆσαι. 19 οὕτω γ' ἐχόντων] sc. αὐτῶν: *naar de er i den Stemning*. 21. ὡς] til at ɔ: *saa at*. 24. ἣ κτλ.] *det, der —*. 28—30. ὁπόσοι μὲν — οὗτοι μὲν] svarer til ὁπόσοι δὲ — τούτους δὲ nedenfor.

**S. 40.** 2. πᾶσι] hører til ἀνθρώποις. 4. μᾶλλόν πως] *langt mere*. 15. ἤδη] *straks*. 17. συγκαλοῦμεν] Fut.

**S. 41.** 7. εἰς δὲ ἣν ἀφίκοντο κώμην] = ἡ δὲ κώμη εἰς ἣν ἀφ. 23. ἐφ' ᾧ] *paa den Betingelse, at*

**S. 42.** 10. τινὲς styrer τῶν ἀποσκεδ. ἀπὸ τοῦ στρατοπέδου. 19. κατακειμένων] abs. Gen.: *naar man laa*. ἀλεεινὸν] substantivisk: noget varmende ɔ: *en Hjælp mod Kulden*. 21. γυμνὸς] *i den bare Chiton*. 22. ἀφελόμενος] sc. τὴν ἀξίνην. 25. ἐκ τῶν πικρῶν] sc. ἀμυγδαλῶν. 29—30. κραυγῇ καὶ ἡδονῇ] *Glædesskrig*.

**S. 43.** 5. καθορᾶν] *infin. imperfecti* (καθεωρῶμεν). 7. πορευθεὶς] hører til ἰδεῖν, ikke til ἔφη. 14. ἐπὶ τίνι] *i hvilken Hensigt*. 21. ἐπὶ] *over*. 24. τὸ στρατόπεδον] sc. τῶν πολεμίων. 30. flgd. Konstr.: οἱ φάσκοντες εἶναι ἀ. καὶ ο.

**S. 44.** 18. ὁ τρίτος] sc. σταθμός. 21. εἶπε] *foreslog*. 30. μεταδοῖεν] = δοῖεν.

**S. 45.** 4. παρῆν] = ἐξῆν. 6. ἐβουλιμίασαν] incoh. Aor. 12. διδόντας] = δώσοντας. 13. τοῖς βουλ.] hører baade til διεδίδου og διδόντας. 16 ἐκ τῆς κώμης] hører til γυναῖκας καὶ κόρας. 23. ἐδυνήθησαν] ɔ: *kunde følge med*.

**S. 46.** 3–4. τῆς χιόνος] *mod* S., men (5) τῶν ποδῶν, *for* F. 6. ὅσοι] herfra underforstaas τούτοις. 14. καὶ] *og — virkelig*. 16. οὐκ ἔφασαν πορεύεσθαι] direkte: οὐ πορευόμεθα. 17—18. πάσῃ τέχνῃ καὶ μηχανῇ] ɔ: *for Himlens Skyld*. 19. τελευτῶν] *tilsidst*. 24. ἀμφὶ] = περὶ.



**S. 47.** 2. ἐπ' αὐτούς] *for at hente dem*. 6. ἀνίστασαν] *søgte* at faa dem op. 14—15. ἀναστήσαντας — ἀναγκάζειν] = ἀναστῆσαι καὶ ἀναγκάζειν. 18. κομίζειν] Infin. om Hensigten. 23. οἱ δὲ ἄλλοι] sc. στρατηγοί.

**S. 48.** 1. ἐνάτην ἡμέραν] *paa* 9ende Dag; se Syntax § 19 Anm. 3. τὸ στόμα] Nomin., sc. ἦν. 25. ὁμοῦ] *samtidig*. 30. flgd. οὐκ ἦν ὅπου οὐ] = *nusquam non, allevegne*.

**S. 49.** 10. σκηνοῦντας] af σκηνεῖν = εὐωχεῖσθαι (§ 30). 11. τοῦ ξηροῦ χιλοῦ] nævnt § 25. 12. βαρβαρικαῖς στολαῖς] »*Nationaldragter*«. 21. ἑαυτοῦ] henført til Objektet. 23. Ἡλίου] ɔ: Solguden Mithra, til hvem der ofredes Heste. 25. τῶν πώλων] part. Gen.: *nogle af Plagene*.

**S. 50.** 7. ἡγήσαιτο] sc. ὁ κωμάρχης. 10. ἦν] upers.: *det var*. 17. ἀμέλεια] ɔ: *daarligt Opsyn*. 20. ἀνὰ] distributivt: *hver*. 27. κατὰ κέρας ἄγειν] *marchere med en smal Kolonne*. 29. ἐπὶ φάλαγγος γένοιτο] *danne en F.*

**S. 51.** 11. πλείους] Appos.: *saa at der bliver flere*. 17—18. τὸ ὄρος τὸ ὁρώμενον] *den synlige Del af Bjerget*. 20. ἀλλ(ο) ἤ] *undtagen*. 21. κλέψαι λαθόντας] *hemmeligt besætte*. 22. ἁρπάσαι φθάσαντας] *forinden bemægtige sig*. 24. ὄρθιον] = ὀρθίαν ὁδόν. 27. μεθ' ἡμέραν] = ἡμέρας. 30. ὡς] = ὥστε.

**S. 52.** 2—3. δοκοῦμεν ἄν μοι . . . χρῆσθαι] *jeg tror, at vi vil finde*; ἂν overflødigt gentaget. 6. ἀκούω *har* hørt. 13. τοῦ ὄρους] part. Gen.: *et Stykke af B.* 14. μέντοι] *virkelig*. 25. αἶξι] *med G.* 26. βατὰ] = βατόν. 28. ἐν τῷ ὁμοίῳ] *paa samme Standpunkt*, ligl. 29—30. εἰς τὸ ἴσον.

**S. 53.** 1. ἀλλὰ] *nej!* 10—11. οἱ ταχθέντες] *de dertil kommanderede*. 19. τοὺς πολλοὺς] *Hovedafdelingerne*. 21—22. οἱ ἐκ τοῦ πεδίου] oversæt som τῶν ἐκ τοῦ π. 24. βάδην ταχύ] *i Stormskridt*.

**S. 54.** 6—7. ὅσον ξυνήλην] = τοσοῦτον, ὅση ξυνήλη. 8. ἂν] betegner i ikke betingede Hovedsætn. i *Indik*. det sædvanlige: *gerne*. 25. τῆς ἑαυτῶν πολεμίας] egl. deres (de indfødtes) Fjendeland ɔ: *deres Fjenders Land*.

**S. 55.** 8. *αὐτῶν*] afh. af *τινας*. 11. *πλείων ἐγίγνετο*] *blev stærkere*. 14. *μεῖζόν τι*] *noget usædvanligt*. 18. *καὶ* foran *οἵ*] *ogsaa*. 21—22. *ὅστις δή*] eg. hvem det nu var ɔ: *en eller anden*.

**S. 56.** 4. *τὸ δεῖπνον*] et Gilde, som den thrakiske Prins Seuthes gjorde for de græske Officerer, da Hæren var kommet over til Europa. 7. *καθημένοις*] *saaledes at de sad*. 12. *τοῦτο*] usædv. istf. *τόδε*. 15. *ὅσον*] = *τοσοῦτον, ὥστε*.

**S. 57.** 7. *οὐ μή*] sættes med Konj. som forstærket Nægtelse: *aldrig*. 27—28. *τὴν μὲν — τὴν δέ*] *saavel — som andet*.

**S. 58.** 2. *συγκατεσκεδάσατο κτλ.*] *hældte sammen med ham Resten ned over sig*, en særlig thrakisk Skik.

**S. 59.** 1. *περὶ Λέσβον*] ved de arginussiske Øer, Aar 406. 6. *τῆς διωβελίας*] en i Slutningen af den peloponnesiske Krig under den herskende Nød indført Statsunderstøttelse af 2 Oboler daglig, som alle Borgere havde Ret til at hæve. 7. *ἐπιβολήν*] en *Mulkt* som foreløbig Straf. 10. *δῆσαι*] *fængsle*. 17. *δικαίους*] *forpligtede*. 18. *ὅτι*] afh. af *μαρτύριον (Bevis paa —)*. 18—19. *οὐδενὸς ἄλλου*] Masc.

**S. 60.** 3. *σφίσι*] istf. *αὐτοῖς*, idet Sætningen opfattes som Feltherrernes egen Begrundelse af Forsvarets Korthed. — 5. *πλέοιεν*] *opt. imperf.* 8. *δέοι*] *sc. αἰτιάσασθαι*. 9. *ἔχειν*] *kunde de*, afh. af det i *διηγοῦντο* (4) liggende *ἔφασαν*. 10. *ὅτι*] *fordi*. 15. *ἔπειθον*] *var paa Veje til at —*. 18. *ἂν καθεώρων*] *man kunde have set;* Synt. § 88 Anm. 1. 21. *φράτερες — συγγενεῖς*] »*Fraterer*« — »*Frænder*«, Medlemmer af *φρατρίαι*, en Art Stammer, og disses Underafdelinger, *γένη*. *σφίσιν αὐτοῖς*] = *ἀλλήλοις*. 25. *ὡς δὴ ὄντες*] *idet de gav sig ud for*. 28. *Κ. εἰπόντος*] *stillet af* K.; *τήνδε*] *i følgende Form*.

**S. 61.** 1. *διαψηφίσασθαι*] *skal —;* Akk. m. Inf. = Imper. 9. *τῆς θεοῦ*] *Ἀθηνᾶς*. 11. *ἐπιστέλλειν*] *inf. imperf.* 17. *δεινόν*] *oprørende*. 19. *ψήφῳ*] *Afstemning*. 25. *καλεῖν*] at man *skulde* stævne. 23. *ἀλλ' ἤ*] *undtagen*.



**S. 62.** 1. *Τὰ μὲν — τὰ δέ*] *dels — dels*. 2. *ἀναγκ. καὶ ἐπιτ.*] *nær Slægtning*. 6. *μετέπεισαν*] ɔ: *fik derfra*. 10 og 12 *ἐκείνων*] Theram. og Thrasyb. 13. *οὔκ*] *nej, det gör de ikke*. 14. *ὅθεν*] *det, hvorved*. 15. *καί*] *og saa*. 16. *σφᾶς αὐτούς*] se Forml. § 56b Anm. 2. 17. *ἐν οἷς*] *en Fremgangsmaade, hvorved*. 21. *κἄν*] *i det mindste*.

**S. 63.** 2. *ἐστιν*] *det vilde være*. 10—11. *διῃρημένων — τριῶν μερῶν*] = *διῃρημένης εἰς τρία μέρη*. 21. *καί*] *egentlig*. 24. *ἀλλ' οὐκ*] sc. *δέδιτε*: *medens I ikke nærer denne Frygt*. 26. *μιᾷ ψήφῳ*] sc. *κρίνειν*. 27. *μεταμελῆσαι*] Subj. til *ἐστί*. 28. *ὡς*] *hvŏr*. *ἤδη*] *saa*. 29. *ἡμαρτηκότας*] *naar man har —*. 30. *εἰ Ἀ μέν*] svarer til *τοὺς δὲ στρατηγούς*: *hvis I, som gav —, vil —*; Synt. § 116.

**S. 64.** 6. *μὴ ὑμεῖς γε*] sc. *ἀποστερήσητε*: *gör det ikke*. 7. *ἑαυτῶν (= ὑμῶν αὐτῶν) ὄντες*] *som selvstændige Mænd*. 18. *καταλιπεῖν*] sc. *ἔφη (foreslog)*. 28—29. *τὰ — πραχθέντα*] *med Hensyn til —*. 30. *μὴ ποιήσαντας*] = *εἰ μὴ ἐποίησαν*.

**S. 65.** 7. *καὶ αὐτόν*] *skönt han ligeledes*. 8. *τοὺς οὐ πράξαντας κτλ.*] sagt fra Anklagerens Synspunkt. 9. *ἀντί*] *i Modsætning til*. 12. *ἀναγκαίων*] *Tilskikkelser*. — *(μὴ) ἀσυγγν. δόξητε*] *I maa ikke lade den Mening danne sig om Jer, at I er ubarmhjærtige. — προδοσίαν καταγνόντες κτλ.*] *ved at dømme — skyldige i Forræderi —, medens de kun var afmægtige*. 18. *δίχα*] *for sig*. 21. *ὑπομόσασθαι*] *protestere edelig*. 27. *προβολάς*] *foreløbig Anklage* (for Folket; senere for en Domstol). — *εἶναι*] *at der skulde finde Sted*.

**S. 66.** 3. *ὅτε κτλ.*] Aar 403. 6. *ἐν τῷ Ἑλλησπόντῳ*] ved Aigospotamoi, Aar 405. 8. *ὁ ἕτερος*] Appos. til *οἰμωγή* = *οἰμώζοντες*. 10. *πενθοῦντες*] fordi *οὐδεὶς ἐκοιμήθη* er lig *πάντες ἐγρηγόρεσαν*. 21. *κατεσκευάσατο*] *ordnede*, nl. oligarkisk.

**S. 67.** 14. *τὰ πλοῖα*] *Fragtskibene*. 18. *σωτηρίαν μὴ οὐ —*] *Redning fra at —*. 19. *ἠδίκουν*] *havde begaaet*. 21. *ἐκείνοις*] Spartanerne. 26. *ἔχοντες*] = *ὥστε ἔχειν*. 28. *εἶναι*] afh. af det i *ἐκέλευεν* liggende *ἔφη*.

**S. 68.** 2. *αὐτόθεν*] *paa Stedet*. 10. *ἐφ' οἷς*] *paa de Betingelser, som*. 12. *ἐπί*] *en Strækning af*. 17. *βουλόμενοι*] *fordi de vilde*. 18. *πίστις*] *Garanti*.

**S. 69.** 2. *λόγῳ*] *Hensigt.* 7. *ἐξαιρεῖν*] **sc.** *τὰς Ἀθήνας.* 10. *ἐποιοῦντο*] *tilbød.* 12 *καθεῖναι*] = *κατελθεῖν ἐᾶν.*

**S. 70.** 3. *ἐφ' ᾧτε*] *med den Bestemmelse.* 4. *ἔμελλον*] *ventede med.* 8. *ζῶντας*] *part. imperf.* 16 *δὴ*] *nemlig.* 22. *τῶν φρουρῶν*] *nogle af —.* 26. *ἐπιχειροῦντας*] = *εἰ ἐπιχειροῖεν.* 28 *ἐπεὶ δὲ*] Eftersætningen kommer i en anden Form: *ὁ δὲ* **71,** 5 (A n a k o l u t h i).

**S. 71.** 4 *τῇ πόλει*] = *τοῖς πολίταις.* 7. *οὐκ*] overflødigt. 9. *τυραννίδος*] = *ἢ τυραννίδος.* 14. *τῶν πραγμάτων*] *Regeringen.* 19. *δὴ*] *efter hvad de sagde.* 23. *ἔχοντά τινα ἀνάγκην*] *gav nogen Garanti.* 25. *οἷόν τε*] **sc.** *ὄν*, **abs.** *Akk.*, hvortil *ὥσπερ* ogsaa hører. 27—28. *τῶν ἀρχομένων*] der var henved 8 Gange saamange som de 3000. 30. *ἄλλων ἀλλαχοῦ*] *paa forskellige Steder.*

**S. 72.** 1. *κελεύειν ἐπὶ τὰ ὅπλα*] kortfattet Udtryk: kommandere efter Vaabnene (smlgn. *ἰέναι ἐφ' ὕδωρ*) ɔ: *give dem Ordre til at hente deres V.* — *ἐκεῖνοι*] *οἱ ἔξω τοῦ καταλόγου.* 15—16. *ἐκεῖνοι μὲν — ἡμεῖς δὲ*] *medens d e dog —, skal v i saa —.* 17. *τῷ παντὶ*] *absolut.* 27. *τοῦ καιροῦ*] *end det er heldigt.*

**S. 73.** 3. *τοῖς οἵοις ἡμῖν*] = *τοιούτοις, οἷοι ἡμεῖς ἐσμεν.* 14. *ὡς*] *til Bevis paa, at.* 19. *νῦν*] *i Virkeligheden.* — *α ὐ τ ὸ ς μὲν ἄρξας*] hertil hører unöjagtigt *α ὐ τ ῷ ἀρέσκει* (24—25) istf. *ἐπαινεῖ* f. Eks. 29. *τοσούτῳ*] *i samme Grad.*

**S. 74.** 2. *πιστοὶ γίγνονται*] *fæster Tiltro.* 3. *ἐσπείσατο*] *empirisk Aor.* 8. *κατὰ*] *ligesom.* 13. *κόθορνος*] passede til begge Fødder. 15. *πράγματα*] *Farer.* 27. *ἀπέκτεινεν*] *fik dødsdömt.*

**S. 75.** 2. *δυνασθῇ*] skal *blive* i Stand til. 12. *ὡς*] *da.* — *οὗτος σωθεὶς*] *dennes Frelse.* 21. *προσταχθέν*] abs. Akk. *(skönt —).* *ἀνελέσθαι*] *sc. ἐμέ.* 24 *μὴ ὅτι*] *nedum.* 28. *π α ρ α νενομικέναι*] *har en f a l s k Anskuelse.*

**S. 76.** 9. *μέχρι τοῦ*] *saalænge som.* 11. *ὁμολογουμένως*] *utvivlsomme.* 21. *οὔτε αὐτοῦ οὔτε τοῦ πατρὸς*] *lige saa lidt som hans Fader.* 22. *ἀλλὰ μὴν*] *fremdeles.*



**S. 77.** 3. *ὀλίγοι*] man kunde have ventet: *ἀσθενεῖς;* men Overgangen til hvad Lakedæmonierne kunde have gjort har paavirket Udtrykket. — 27. *ἂν*] hører til *βούλεσθαι (βούλοιντο ἄν).*

**S. 78.** 1. *καὶ*] endog *blot.* *ἐπιβαίνειν ποι*] *besætte et Punkt.* 2. *ἃ*] *med Hensyn til det, som —.* *οἷος*] = *τοιοῦτος, ὥστε.* 7. *ἀνίεσαν*] *gav efter.* 11. *ποιήσασθαι*] *bringe.* 16. *καὶ*] *i Grunden.* 19 *ποτε*] *ved enhver Lejlighed.* 21. *οἱ — ἂν ἀποδόμενοι*] = *οὗτοι, οἳ — ἂν ἀπόδοιντο.* Raadsherrernes Diæter udgjorde 1 Drachme. — 22. *αὐτῆς*] *τῆς πόλεως* = *τῆς πολιτείας.* 25 *τοῖς δυναμένοις κτλ.*] ɔ: Riddere og Hopliter.

**S. 79.** 2. *παθὼν*] = *εἰ πάθοιμι.* 7. *βιωτὸν*] *til at udholde.* 12. *οἷον δεῖ*] ɔ: *ordentlig.* 12—13. *ὃς ἂν — μὴ ἐπιτρέπῃ*] = *μὴ ἐπιτρέπειν.* 16. *τοῖς καινοῖς νόμοις*] disse nye Love, som Xen. ikke før har omtalt (smlgn. **70,** 4), bestemte, at de 30 kunde henrette enhver, der ikke stod paa de 3000's Liste, og at ingen, der havde modarbejdet de 400's Oligarki (Aar 411), kunde staa paa denne; det havde netop Theramenes gjort. 18. *τῶν δ'*] *blandt* dem. 20. *συνδοκοῦν*] *abs. Akk.*

**S. 80.** 11. *τὰ ἐκ τούτων*] *det fornødne* (Eufemisme). 22. *οἰμώξοιτο*] *han skulde ske en Ulykke.* 25. *Κριτίᾳ κτλ.*] *min Ven Kritias' Skaal!*